50

№ A
3-439

142

Biblioteca Universitaria
GRANADA
Sala A
Estante 3
Tabla
Número 439

Nº 4
35182

142

Biblioteca Universitaria
GRANADA
Sala A
Estante 3
Tabla
Número 439

18 oto/o-3.

Nº 4
35-82

del Collegio de la Compa. de JHS de Grana.
R. 2765

# VITA B. IGNATI SOCIETATIS IESV FVNDATORIS Latinogræca.

Ex Hispanica, quam R.P. Gaspar Quartemont eiusdem Societatis Latine reddidit.

INTERPRETE Georgio Mayr ex eadem Societate.

*Cum gratia & priuilegio Cæsareo.*

Omnia ad maiorem Dei gloriam

*Augustæ Vindelicorum* M. DC. XVI.

πάντα εἰς μείζω θεȣ δόξαν

W. Kilian F.

R.4765

# ADMODVM R^do^. IN CHRISTO PATRI NOSTRO P. MVTIO VITELLESCO, Societatis IESV Præpoſito Generali.

AD nouam iſtam interpretationem, admodum Reuerēde in Chriſto Pater, minimè nouo, ſed perantiquo, eodemq̃ue imitatione digniſſimo exemplo permotus animũ adiunxi. Conſtat enim D. Benedicti vitam, quam S. Gregorius Magnus Latinè conſcripſerat, non ab vno è vulgo, ſed ab ipſo Zacharia Romano Pontifice cùm eruditione, tum ſanctitate celeberrimo, annis abhinc prope nongentis in Græcum ſer-

monem translatam fuisse; eam, opinor, ob caussam, vt virtutum iuxtà ac miraculorum exempla præclarissima, radios suos longiùs latiusque diffunderent. Qui primùm B. Ignatij Societatis nostræ parentis res gestas posterorum memoriæ prodidit, fuit R. P. Petrus Ribadineira, quem vitæ religiosæ integritas & indubitata fides in censum clarissimorum virornm nostri Ordinis retulit. Eum librum cùm ipse sub felicem suũ ex hac luce discessum in epitomen mirè gratam linguâ Hispanicâ redegisset, interpretem Latinum P. Gasparem Quartemontium nactus est, virũ eiusdem nostræ Societatis eruditum; cuius libellum, si non alijs (quod tamen omnino sperandum) nostræ certè Societatis Religiosis, ijs præsertim, qui humanitatis ac linguarum studia tractare solent, multò gratiorem fore, si Latinè ac Græcè simul ederetur, graues ac docti Prouinciæ nostræ Patres arbitrati sunt. Sperabant enim futurum, vt ex hac periucunda vtriusque linguæ vicissitudine, cum tanta virtutum & exemplorum, quibus nobis optimus parens noster B. Ignatius præluxit, copia coniuncta, non mediocrem fructum perciperent. Atque horum Patrum sententiam sibi quoque probatam esse, ipse R. P.

Claudi-

Claudius Aquauiua Societatis nostræ Præpositus Generalis, piæ memoriæ, paulò antè mihi significandum curauit, quàm ex hac vita ad beatarum mentium cælestem Societatem (quod illius tot tamque illustres virtutes, nos omnino existimare iubent) euocatus est. Percommodè autem nunc accidit, vt hic idem libellus Latinogræcus eo tempore lucem aspiciat, quo R. P. V. ad tenendum Societatis clauum eiusque tractanda gubernacula communibus suffragijs electam certa literarum significatione cognouimus. Optatam enim, aliorum quoque iudicio, occasionem mihi habere videor, qua, fausta omnia precantium cœtui, animo saltem præsens me adiungam, & opusculum hoc, licet exiguum, boni ominis causa, R. P. V. submissè offeram. Inter cõmunia enim vota, quibus R. P. V. à Deo Opt. Max. animi corporisque vires quàm maximè diuturnas ad Societatem toto nunc orbe mirè propagatam, rectè administrandam omnes ipsius filij enixe efflagitamus, illud haud postremum est, vt in hac religiosa nostra familia cum alijs scientijs, linguarum quoque principum studia in dies magis ad commune Ecclesiæ Catholicæ bonum, ipsius consilio & auctoritate vbique



efflo-

efflorescant: vtque ab ipsius laudatissimo Decessore in hunc finem sapienter cogitata, imò non infeliciter quoque cœpta ad optatum exitum perduci possint. Augustæ Vindelicorum 7. Decemb. Anno 1615.

R.$^{dæ}$ P.$^{tis}$ V.
minimus in Christo seruus
Georgius Mayr.

FACVL-

# FACVLTAS R. P. Prouincialis superioris Germaniæ Societatis IESV.

*Sacræ Cæs. Maiest auctoritate ac priuilegio nostræ Societati pro libris edendis 20. Sept. Anno 1612. Pragæ concesso,* Ego Melchior Härtelius *Societatis* IESV *per Superiorem Germaniam Præpositus Prouincialis honesto viro Christophoro Mangio Typographo Augustano potestatem facio excudendi Vitam B. Ignatij Loiolæ Societatis* IESV *fundatoris Latinogræcam, ex Hispanica, quam P. Gaspar Quartemontius Latinè conuertit, à P. Georgio Mayr nostræ itidem Societatis, nunc Græcè redditam. In cuius rei fidem hoc ei testimonium manu mea subscriptum, & sigillo munitum dare volui. Augustæ 4. Iulij Anno 1615.*

Melchior Härtelius.

# In imaginem B. P. Ignatij.

Ignatium Ordinis ducem, cui inclyto
IESV decorari contigit vocabulo,
Sculptoris ars effinxit. Hunc si lumine
Spectabis humano, aliquid humanum tibi
Parebit; at mentis oculis si inspexeris,
Fatebere cælestem. Ergo verè dixerat,
QVAM TERRA SORDET, QVANDO
CAELVM CONSPICOR!

# Εἰς εἰκόνα τοῦ ἐν μακαρίοις

πατρὸς Ιγνατίου.

Ἰγνάτιον τῆς τάξεως ἡγούμενον
Κλυτῷ κεκοσμένης ΙΗΣΟΥ ὀνόματι,
Τύπωσε γλύπτης. εἰ βροτείοις ὄμμασι
Θέλεις ἐσαθρεῖν, βροτὸν ἐσαθρήσεις τινά·
Ταῖς δὲ καρδίας γλήναις ὁρῶν, φήσειας ἂν
Οὐράνιον. αὐτὸς εἶπεν οὖν ἀληθινῶς·
Ὡς γῆ ῥυπαρὰ ἐφορῶντί μοι τὸν οὐρανόν;

B. Igna-

# INDEX CAPITVM.


*DE genere ortuque Ignatij, & à sæculari vita conuersione.* pag. 1

2. *De feruore eius pœnitentia, mundique contemptu.* 9

3. *Angitur scrupulis conscientiæ morbisque tentatur, curatus diuinis reuelationibus illustratur. Memoria eius monimentum Minoressa.* 19

4. *Religionis ergô Romam, inde Hierosolymam contendit, quaque ei hac in peregrinatione contigerunt.* 29

5. *Hierosolyma in Hispaniam reuertit, multisque eripitur periculis.* 43

6. *Proximi iuuandi gratia, dat operam litteris, acriter in vitam eius doctrinamque inquiritur, sed sana sanctaque deprehenditur.* 47

7. *Parisios studiorum causa concedit, vbi quod iuuenes quosdam ad pietatem alliceret, periculum adit plagarum atque infamiæ; at Dei nutu liberatur.* 63

8. *Ignatius socios sibi adiungit. Iter eorum* Hiero-

*Hierosolymam impeditur: Saluti se dedunt proximorum.* 73
*9. Societas* IESV *fundatur atque à S. Sede Apostolica approbatur. Ignatius primus ei Generalis præponitur.* 85
*10. Generalis electus, mox vt se gesserit; Societas propagatur, piæ aliquot fundationes, agente Ignatio, eriguntur stabiliunturque.* 97
*11. Ignatij felix exitus, sepultura, oris & corporis conformatio.* 109
*12. De præcipuis eius virtutibus, humilitate præsertim, suique contemptu.* 121
*13. Exacta eius mortificatio, & in Deum charitas.* 135
*14. Amor Ignatij benignitasque in proximum.* 145
*15. Deuotio Ignatij donumque lachrymarum, ac reliquarum eius virtutum enumeratio.* 157
*16. Diuinæ eius reuelationes, raptusque in Deum.* 167
*17. Radij quidam sanctitatis è facie eius emicant, donoque prophetiæ ornatur.* 181
*18. De miraculis diuinitus per eum factis. primumque de potestate eius in dæmones, tam in vita quam post mortem.* 197
*19. Memorabilis item quarundam sororum Mutinensium, ab infestatione dæmonum per Ignatij merita liberatio.* 215
*20. Verborum Ignatij mira in tractandis flectendisque hominum animis efficacitas.* 227
*21. Cuiusque generis morbi per B. P. Ignatij inuocationem curati.* 233
*22. Admirabilis Societatis* IESV *ortus, progressusque expenditur.* 293
*23. Sanctorum virorum, Regum Principumque de B. Ignatio testimonia.* 307

VITA

# VITA B. P. IGNATII DE LOIOLA AVCTORIS SOCIETATIS IESV.

## CAPVT I.

*De genere ortuque Ignatij, & à sæculari vita conversione.*

BEatus P. Ignatius de Loiola auctor & parens Societatis Iesv, natus est in ea parte Hispaniæ, quæ Cantabria nominatur, anno ab ortu Dñi cIↄ. cccc. xcI. Innocentio VIII. Romano Pontifice, Federico III. Rom. Imperatore, Ferdinando denique & Isabella Catholicis Hispaniarum Regibus. Ei pater fuit Bertrandus, Iagnez, Ognez & Loiolæ dominus, Illustrisque & antiquæ familiæ suæ princeps: mater verò Marina Sonez claris orta parentibus Baldæ dominis, genere & virtute non inferior viro fœmina. Atque harum vtriusque familiarum duces vt è prima nobilitate Cantabriæ, ita apud Hispanos magni sunt & appellantur. Ignatius ab infantia acri fuit ingenio, & vehementi quadam incitatione naturæ: qui vt primum è pueris excessit, in aulam Regum Catholi-





# ΒΙΟΣ ΤΟΥ ΕΝ ΜΑΚΑΡΙΟΙΣ ΠΑΤΡΟΣ ΙΓΝΑΤΙΟΥ ΛΟΪΩΛΑΙΟΥ ἀρχηγοῦ τῆς ἑταιρείας Ιησοῦ.

## Κεφάλαιον α.

Περὶ τοῦ γένους, καὶ τῆς τοῦ Ιγνατίου ἀπὸ τοῦ κοσμικοῦ βίου ἐπιστροφῆς.

Ο Εν μακαρίοις Ιγνάτιος Λοϊωλαῖος, ὁ τῆς τοῦ Ιησοῦ ἑταιρείας ἀρχηγὸς καὶ πατὴρ, ἐν τῷ τῆς Ισπανίας μέρει, ὃ Κανταβρία καλεῖται, ἔτει τοῦ Χριστοῦ χιλιοστῷ, τετρακοσιοστῷ, ἐννενηκοστῷ πρώτῳ ἐγεννήθη, ἐπὶ τοῦ Ιννοκεντίου ὀγδόου τοῦ τῆς Ρώμης Πάπα, τοῦ Φεδερίκου τρίτου τοῦ τῶν Ρωμαίων αὐτοκράτορος, τοῦ Φερδινάνδου καὶ τῆς Ισαβέλλης τῶν τῆς Ισπανίας καθολικῶν βασιλέων. Ο μὲν πατὴρ αὐτοῦ ὑπῆρξε Βερτράνδος τοῦ Ιαγνεσίου, τοῦτε Ογνεσίου καὶ τῆς Λοϊώλης δυνάστης, τῆς ἐπιφανοῦς καὶ παλαιᾶς οἰκίας αὐτοῦ πρωτεύων· ἡ δὲ μήτηρ Μαρίνη Σώνη ἐκ λαμπρῶν γονέων, τῶν τῆς Βάλδης κυρίων πέφυκε, τῷ γένει καὶ ταῖς ἀρεταῖς τοῦ ἀνδρὸς οὐκ ἀπολειφθεῖσα γυνή. καὶ δὴ οἱ τούτου ἀμφοτέρου τοῦ οἴκου πρόγονοι, τῶν τῆς Κανταβρίας πρώτων εὐγενέων τυγχάνοντες, παρὰ τοῖς Ισπανοῖς μεγάλοι εἰσὶ, καὶ ἐπικαλοῦνται. Ο δὲ Ιγνάτιος ἐκ πρώτης ἡλικίας τὴν φύσιν δεινῶς καὶ παροξυντικῶς εἶχε· καὶ ἐκ παίδων ἐξελθὼν εἰς τὴν τῶν βασιλέων τῶν καθολι-

corum deductus est, cum æqualibus educandus. Simul atque verò cum ætate maior etiam naturæ vis accessit, cùm esset ea animi magnitudine, vt nihil extimesceret, omnia pericula humana despiceret, omni armorum genere sese exercuit, vt aliquando militari gloria posset excellere. Cùm itaque Galli anno salutis humanæ CIↃ. IↃ. XXI. arcem Pampelonensem cingerent, ad eam propugnandam cum reliquis centurionibus præsidioque Ignatius noster ingressus est. Cùm autem acrior esset obsidio, & qui obsidebantur de subsidio desperarent, deditionis cepere consilium, omninoque rem perfecissent, nisi consilijs eorũ occurrisset Ignatius, monuissetque hosti vel proposita morte resistendum. Sed cùm arcem Galli tormentis verberarent, eamque noster hic propugnaret, ferrea pila crus eius dexterum tanta vi percussit, vt id penitus suffregerit, eiusdemque impetu excussus è muro lapis læuum haud leuiter offenderit. Eo igitur prostrato ceteri turbati, sese & arcem Gallis dediderunt, qui Ignatium in tabernaculum suum deductum beneque habitum, eius demum genere cognito, lectica domum, atque in pristinum hospitium deportauerunt. Interea morbi vis adeò ingrauescebat, vt tenuis

eius



κῶν αὐλὴν, τοῦ τοῖς ἡλικιώταις συνεκτραφῆναι, εὐθέως προσήχθη. ἐπειδὴ δὲ ἡ τῆς φύσεως ῥώμη τοῖς ἔτεσι συνηύξηται, τοιαύτης μεγαλοψυχίας ἐπιτυχὼν, ὅπως μηδὲν μὲν δεδοίκῃ, πάντων δὲ κινδύνων τῶν ἀνθρωπείων καταφρονήσῃ, περὶ πάντα τὰ τῶν ὅπλων ἑαυτὸν ἤσκησεν, ὑπὲρ τοῦ ἐκ τῆς ἐν μάχῃ ἀριστείας ποτὲ εὐδοκιμεῖν δυνηθῆναι. τῷ μὲν οὖν ἀπὸ τῆς ἀνθρωπίνης σωτηρίας ἔτει α φ΄. κ α΄. τῶν Κελτῶν τὴν Παμπελῶνα πολιορκησάντων, τοῦ ὑπερμαχεῖν αὐτῆς ὁ Ἰγνάτιος μετὰ τῶν ἄλλων ἑκατοντάρχων καὶ φρουρῶν εἰς αὐτὴν εἰσῆλθε. τῆς δὲ πολιορκίας χαλεπωτέρας γινομένης, καὶ τῶν κεκλεισμένων τὴν ἐπικουρίαν ἀπελπισάντων, περὶ τοῦ ἑαυτοὺς ἐνδοῦναι ἐβουλεύσαντο· καὶ τοῦτο ἂν ἐποίησαν, εἰ μὴ ὁ Ἰγνάτιος αὐτοὺς ἀποτρέψας, πρὸς τὸν πολέμιον, καὶ τὸν θάνατον προελομένους ἀντιτάττεσθαι, παρεκάλεσεν. ἀλλὰ μὴν τῶν Κελτῶν τὴν ἀκρόπολιν ταῖς μηχαναῖς σφαιροβόλοις τυπτόντων, καὶ τοῦ Ἰγνατίου ὑπὲρ αὐτῆς ἀμυνομένου, σφαῖρά τις σιδηρῆ τὸ σκέλος αὐτοῦ τὸ δεξιὸν οὕτω βιαίως ἔπληξεν, ὥστε παντελῶς αὐτὸ διέρρηξε, καὶ τῆς αὐτῆς ἐμβολῇ λίθος ὁ ἐκ τοῦ τείχους ἐκτιναχθεὶς, τὸ ἀριστερὸν δεινῶς ἔβλαψεν. Αὐτοῦ μὲν οὖν καταβληθέντος, οἱ ἄλλοι ταραχθέντες ἑαυτοὺς καὶ τὴν ἀκρόπολιν τοῖς Κέλταις ἐνέδοσαν, οἵτινες τὸν Ἰγνάτιον εἰς τὸ σκήνωμα αὐτῶν καταγαγόντες φιλανθρώπως αὐτῷ ἐχρήσαντο· τέλος δὲ τὸ γένος αὐτοῦ κατεγνωκότες, ἐπὶ φορείου οἴκαδε καὶ εἰς τὸ κατάλυμα πρότερον προσεκόμισαν. μεταξὺ δὲ ἡ νόσος οὕτως ἐβαρύνετο, ὥστε μικρὰν

eius vitæ ſpes oſtenderetur. Sed quò propior periculo res erat, eò maiorem illi Deus opem & auxilium tulit. Etenim pridie illius diei, qui beato Petro ſacer eſt, quem ille præcipuo quodam cultu venerabatur, idem Apoſtolorum princeps cælitùs ad eum miſſus, eique viſus eſt quaſi opitulaturus, eumque curaturus. Hoc viſo, paulatim morbo leuari cœpit: ſed quia natura & voluntate concinnus & elegans erat, corporis venuſtatem haud negligendam ratus, os, quod infra poplitem fœdiùs eminebat, cum ceteriſque minimè coaleſcere potuerat, ſecandum curauit, vt, quemadmodum ex illo audiui, ocreas aptiùs & pedum integumenta componeret. Cruciatum verò hunc adeò contempſit, vt minimè ſe ligari ſit paſſus, quòd id illa ſua animi magnitudine, conſtantiaque indignum putaret. Quinimo cùm id ea parte, quæ ſana erat & integra, ſecari placuiſſet: eo tamen animi robore & firmitate fuit, vt omnes raperet in admirationem. Nam quem colorem ac vultum prima in curatione tenuerat, eundem in extrema hac carnificina ſeruauit.

Interim dum vis morbi remitteret, cùm lectulo affixus hærere cogeretur, vt bellicorum heroicorumque facinorum lectione mirè capiebatur, ita fallendi temporis





ἐλπίδα τοῦ βίου αὐτοῦ φαίνεσθαι. ἀλλὰ μὴν ὅσῳ μᾶλλον ἐκινδύνευσε, τοσούτῳ μείζονος βοηθείας παρὰ τοῦ θεοῦ ἐπέτυχε. τῇ γὰρ προτεραίᾳ τῆς τοῦ ἁγίου Πέτρου ἑορτῆς, ὅνπερ αὐτὸς ἐξαιρέτως ἐθεράπευσεν, ὁ αὐτὸς ἀρχιαπόστολος οὐρανόθεν πρὸς αὐτὸν πεμφθεὶς, ὡς ἐπικουρήσων καὶ ἰασόμενος αὐτῷ ἐφάνη. καὶ ταύτῃ τῇ ὁράσει τοῦ μὲν νοσήματος μετὰ βραχὺ κουφίζεσθαι ἤρξατο, ἐπειδὴ δὲ φύσει καὶ προαιρέσει φιλόκαλος καὶ κομψὸς ἐγένετο, ἔδοξεν αὐτῷ τῆς τοῦ σώματος εὐμορφίας οὐδαμῶς ὀλιγωρεῖν, διόπερ ὀστοῦν τὸ ὑπὸ τῇ ἰγνύᾳ αἰσχρῶς πως ἐξέχον, καὶ τοῖς ἄλλοις συμφύεσθαι μὴ δυνάμενον ἐκτέμνεσθαι ἐποίησε, τοῦ εὐαρμοστότερον (καθάπερ αὐτὸς ἔλεξέ μοι) τὰς κνημῖδας καὶ τὰ τῶν ποδῶν ἐνδύματα συνταχθῆναι. ταύτης δὲ τῆς ἀλγηδόνος οὕτω κατεφρόνησεν, ἵνα μηδαμῶς τὸ δεδέσθαι ὑπομείνῃ, τοῦτο δήπου τῆς μεγαλοψυχίας καὶ εὐσταθείας αὐτοῦ ἀνάξιον ἡγούμενος. μᾶλλον δὲ τὸ ὀστοῦν, ὅπη ἦν ὑγιεινὸν καὶ ἀκμαῖον, τέμνεσθαι δόξαν, τοσαύτην ἀνδρείαν καὶ μεγαλοθυμίαν ἐπέδειξεν, ὡς πᾶσι θαυμάζεσθαι. ταὐτὸ γὰρ χρῶμα καὶ βλέμμα τὸ ἐν τῇ πρώτῃ θεραπείᾳ, καὶ ἐν ταύτῃ τῇ ἐσχάτῃ βασάνῳ διετήρησεν.

Ἐν τῷ δὲ μεταξὺ, ἕως ἂν τὸ νόσημα παρακμάσῃ, ὁ μὲν Ἰγνάτιος κλινήρης εἶναι ἀναγκασθεὶς, τῇ τῶν πολεμικῶν καὶ ἡρωϊκῶν ἔργων ἀναγνώσει θαυμαστῶς ἡδόμενος, τοιαῦτα βιβλία, διαγωγῆς



BIBLIOTECA UNIVERSITARIA

caussa, aliquos id genus libros postulauit. At cùm tales fortè ad manum non essent, alij duo oblati, vnus quidem de Christi Domini, alter verò de vita gestisque Sanctorum. Hic primum leuandi duntaxat tædij caussa legere cœpit, mox verò sensim grata quædam & iucunda animi voluptas accessit: demùm ea lectione Deus tales in eius animo motus excitauit, vt iam mutata mente flagraret eos imitandi studio, quorum vitam legendo cognouerat. Porrò quamuis animus id subinde refugeret, appetitusque rationi acre bellum moueret, nec segniùs dæmon oppugnaret, pristinique mores vetustate corroborati multùm valerent ad eum ab hac voluntate deterrendum · gratia tamen corruptam naturam; vis cælestis dominatum vitiorum; auxilium diuini numinis, quod eum ad magna delegerat, omnes dæmonis artes fraudesque superauit. Itaque cùm de nocte surrexisset è lectulo (quod ei solemne & vsitatum erat) ad precandum Deum, positis humi genibus, ante imaginem beatissimæ Virginis matris, illius ope fretus, eius sese misericordiæ, amantissimoque filio totum addixit, illius signa secuturum, remissurumque nuntium rebus humanis.





ἕνεκα, ἐζήτησε· διὰ τύχην δὲ αὐτῶν οὐ παρακειμένων ὄντων, ἀλλὰ δύο προσηνέχθη, τὸ μὲν Χριστοῦ τοῦ κυρίου, τὸ δὲ τῶν ἁγίων βίον καὶ πράξεις κατέχον. τότε πρῶτον μὲν μόνον, ὑπὲρ τοῦ τῆς ἀηδίας ἀπαλλαγῆναι, ἀναγνῶναι ἤρξατο, εὐθέως δὲ χαρίεσσα καὶ τερπνὴ ἡδονὴ τῆς ψυχῆς κατ' ὀλίγον αὐτῷ ἐνεποιήθη· εἰς τέλος ὁ θεὸς τὸν νοῦν αὐτοῦ οὕτως ἐκίνησεν, ὥστε μεταβληθεὶς, ὧν βίον ἀναγνοὺς κατενόησεν, ἤδη μιμήσασθαι ἐπεθύμησεν. ἀλλ' εἰ καὶ ἡ ψυχή ποτε κατεδειλίασεν, ἥτε ὄρεξις κατὰ τοῦ λόγου δεινῶς ἐστρατεύσατο, καὶ ὁ κακοδαίμων αὐτῷ βαρέως ἐπολέμησε, πρὸς τούτοις καὶ οἱ πρόσθεν τρόποι οἱ τῇ παλαιότητι ἐπισχυρισμένοι, μεγάλην δύναμιν εἶχον, τοῦ ταύτης τῆς προαιρέσεως αὐτὸν ἀποτρέψαι· ὅμως ἡ χάρις τὴν φθαρτὴν φύσιν, τὸ κράτος τὸ οὐράνιον τὴν τυραννίδα τῶν κακοτήτων, ἡ βοήθεια τοῦ θεοῦ, τοῦ αὐτὸν εἰς τὰ μεγάλα ἐκλεξαμένου, πάσας τέχνας καὶ δόλους τοῦ διαβόλου ἐνίκησε. Διόπερ τῆς νυκτὸς κατὰ τὸ εἰωθὸς αὐτῷ, εἰς τὸ τὸν θεὸν προσεύξασθαι, τῆς κλίνης ἐξαναστὰς, καὶ ἐνώπιον τῆς εἰκόνος τῆς μακαριωτάτης μητροπαρθένου γονυπετήσας, τῇ τε αὐτῆς ἐπικουρίᾳ πεποιθὼς, τῷ ἐλέει αὐτῆς, καὶ τῷ προσφιλεστάτῳ υἱῷ ἑαυτὸν παντελῶς προσέθη, τοῖς αὐτοῦ συμβόλοις ἀκολουθήσων, καὶ τοῖς ἀνθρωπείοις πράγμασιν ἀποταξάμενος.

## CAPVT II.

### *De feruore eius pœnitentiæ, mundique contemptu.*

ECce autem eo tempore, quo Deum placabat, ingens tota domo inauditus est strepitus, cubiculum in quo erat, contremuit, vitreaque fenestra confracta est. Hac porro in vitæ conuersione carnis suæ infirmitatem non mediocriter pertimescebat: verùm Sacratissima Virgo Angelorum Regina, cuius tutelæ fideique se totum commiserat, in ipsa peruigilatione nocturna suum complexa filium ei sese palàm ostendit: quo viso mirificè recreatus, tantum repente cepit fastidium omnium, quæ cum inhonesta præsertim voluptate coniuncta sunt, vt omnes earum rerum imagines ex illius memoria aspectus ille deleuerit, castitatemque iam tum ad extremum vsque vitæ terminum integram illibatamque seruârit.

Deliberabat cum animo suo de aliquo vitæ genere, in quo seueriore disciplina domaret & coerceret omnes cupiditates, cum Deoque posset esse coniunctior. Quamobrem vbi constituisset domum, parentes, amicos deserere, neque posset Martinus Garcia frater eius natu maximus illum de sententia dimouere, per caussam

visendi



## Κεφάλαιον β'.

### Περὶ τῆς ζέσεως τῆς αὐτοῦ μετανοίας, καὶ τῆς τοῦ κόσμου καταφρονήσεως.

ΙΔοὺ δὲ, τοῦ Ιγνατίου τὸν θεὸν ἐξιλευμένου, ἐν ὅλῃ τῇ οἰκίᾳ κτύπος μέγιστος εἰσηκούσθη, ὅ, τε κοιτὼν ὅπου ἦν, ἐσείσθη, καὶ ἡ ὑαλινὴ θυρὶς διεῤῥάγη. καὶ δὴ ἐν ταύτῃ τῇ τοῦ βίου ἐπιστροφῇ τὴν μὲν τῆς σαρκὸς αὐτοῦ ἀσθένειαν ὡς μάλιστα ἐφοβεῖτο· ἡ δὲ ἱερωτάτη παρθένος ἡ τῶν ἀγγέλων βασίλισσα ἧστινος ὑπερασπισμῷ καὶ πίστει αὐτὸν ὅλως ἐπέτρεψεν, ἐν τῷ παννυχισμῷ τὸν αὐτῆς υἱὸν περιπλέξασα φανερῶς αὐτῷ ὤφθη· ᾗ ὁράσει αὐτῷ θαυμαστῶς εὐφρανθέντι τοσαύτη πασῶν ἡδονῶν, μάλιστα δὲ τῶν αἰσχρῶν, ἀηδία ἐξαίφνης συνέβη, ὡς ἐκείνη ἡ ὄψις πάσας αὐτῶν φαντασίας, τῆς μνήμης αὐτοῦ ἀφείλετο, καὶ τὴν ἁγνείαν εἰλικρινῆ καὶ ἀμίαντον ἐκ τούτου μέχρι τοῦ ἐσχάτου βίου αὐτὸς διεφύλαξεν.

Εσκόπει δὲ πρὸς ἑαυτὸν περὶ τῆς τοῦ βίου προαιρέσεως, ἐν ᾗ ἂν αὐστηροτέρᾳ παιδεύσει πάσας τὰς ἐπιθυμίας ὑπέταττε καὶ καθεῖργε, καὶ πρὸς τὸν θεὸν οἰκειότερος ὢν διετέλει. προελόμενος οὖν, τὸν οἶκον, τούς τε γονεῖς, καὶ τοὺς συγγενεῖς καταλιπεῖν (τοῦ Μαρτίνου Γαρζίου τοῦ ἀδελφοῦ τῇ ἡλικίᾳ πρεσβυτάτου ὄντος, μὴ δυναμένου αὐτὸν μεταπείθειν)



τῇ

viſendi Naiaræ Ducis, ad Sacram B. Virginis ædem in Monteſerrato poſitam, duobus famulis comitatus iter direxit, quo in itinere partem earum rerum, quas ſecum ferebat, illis diſtribuit, atque ita eos à ſe dimiſit. Ex quo autem diſceſſit, conſuetudinem inijt ſingulis noctibus ſeſe acerrimè verberandi, quam & itinere toto retinuit. Præterea Dei amore ſtudioque honoris eius flagrans acta ſua, cogitata, quæque animo deſtinabat, in poſterum omnia ad maiorem eius gloriam referebat. Etenim hic illi ſcopus erat, vt omnia eadem Dei gloria metiretur. Ad hæc in eadem peregrinatione Deo, Sanctiſſimæque eius Matri ſeſe perpetuo caſtitatis voto ſingulari pietate obſtrinxit. Progreſſus verò ad vicum haud procul à Monteſerrato diſtantem, neceſſaria, quibus peregrinationem Hieroſolymitanam adornaret, comparauit, tunicam videlicet talarem canabinam aſperam & craſſam, funem pro cingulo, ſparteos calceos; poſtremò ad potionem aquæ cucurbitam.

Vt ad ſacram B. Virginis ædem Montiſſerrati peruenit, velut æger ſalutis ſuæ percupidus, diligenter inprimis optimum maximeque ſolertem animarum medicum perueſtigauit, cui plagas animi ſui detege-

detege-



τῇ προφάσει τοῦ τὸν τῆς Ναϊάρας ἄρχοντα ἐπισκέψασθαι, εἰς τὸ τῆς θεοτόκου ἱερὸν τὸ ἐν Μοντισερράτῳ καλουμένῳ κείμενον, δυοῖν δούλων αὐτῷ συνακολουθούντων, ἐπορεύθη, καὶ ἐν τῇ δὲ τῇ ὁδοιπορείᾳ τὸ μέρος ὧν ἐκόμισεν, αὐτοῖς διανείμας, τοῦτον τρόπον αὐτοὺς ἀπέλυσεν. ἐξ οὗ δ' ἀπεδήμησε, καθ' ἑκάστην τὴν νύκτα ἑαυτὸν δεινότατα μαστιγῶσαι εἴωθεν, ὃ καὶ ὁδοιπορῶν ἀεὶ ἐτήρησεν. ἔτι δὲ τῇ φιλοθείᾳ καὶ τῇ τιμοθείᾳ ἐκκαιόμενος πάσας τὰς πράξεις, τοὺς διαλογισμοὺς, καὶ τὰς τοῦ νοὸς προαιρέσεις εἰς τὴν τοῦ θεοῦ δόξαν μείζω τὸ λοιπὸν ἀνέφερεν. οὗτος γὰρ ὁ σκοπὸς αὐτῷ προὔκειτο, τὸ δήπου τῇ αὐτῇ δόξῃ τοῦ θεοῦ πάντα μετρῆσαι. πρὸς τούτοις δὲ ἐν τῇ αὐτῇ ἀποδημίᾳ, τῷ θεῷ, καὶ τῇ αὐτοῦ ἁγιωτάτῃ μητρὶ τὴν ἀΐδιον ἁγνείαν αὐτοῦ πάνυ εὐσεβῶς ἐπηγγείλατο. προελθὼν δὲ εἰς κώμην οὐ πόρρω τοῦ Μοντισερράτου ἀπέχουσαν, τὰ τῇ ἀποδημίᾳ τῇ εἰς Ἱεροσόλυμα ἀναγκαῖα ἐπορίσατο, χιτῶνα δηλαδὴ, ποδήρη καννάβινον, τραχύν τε καὶ παχὺν, σχοῖνον ἀντὶ ζωστῆρος, ὑποδήματα ἐκ σπάρτου, τελευταῖον, εἰς τὸ ὑδροποτεῖν, κολοκύνθην.

Επειδὴ οὖν εἰς τὸν τῆς ἁγίας παρθένου νεὼν τὸν τοῦ Μοντισερράτου ἀφίκετο, ὥσπερ νοσερὸς τῆς ὑγιείας αὐτοῦ λίαν ἐπιθυμῶν, πρῶτα βέλτιστον καὶ δεξιώτατον ψυχίατρον ἐπιμελῶς διηρεύνησεν, ᾧ τινι ἂν τὰς τῆς ψυχῆς αὐτοῦ πληγὰς

φανερά-

detegeret. Nactus ergo ſacerdotem quendam religioſum, natione Gallum Ioañem Clanonem, virum ſanctitatis laude præſtantem ac celebrem; apud hunc tribus ipſis diebus totius anteactæ vitæ ſordes eluit magna diligentia, ingentique peccatorum dolore. Atque hic primus fuit, in cuius velut patris ac magiſtri ſinum conſilia ſua intimaſque animi cogitationes effunderet. Iumentum, quo vectus erat, cœnobio reliquit; gladium verò pugionemque, quibus mundo meruerat, ante B. Virginis aram è tholo ſuſpendendum curauit, nouæ militiæ candidatus, præſtantiorique inſtructus armorum genere, quibus Deo in poſterum militaret. Ea ipſa nocte, cui feſtus Angelicæ ſalutationis dies illuxerat, quo Dei Verbum in vtero ſanctiſſimæ matris noſtra ſe humanitate veſtiuit, anno noſtræ ſalutis c I ɔ. I ɔ. XXII. quàm occultiſſimè potuit ad hominem pauperem ſe contulit, cui veſtes omnes ad interulam exutas dedit, & optatum illum, quem paullò ante mercatus fuerat, corpori ſaccum induxit. Hoc ornatus amictu nouus miles ante B. Virginis aram pernoctauit, & modò ſtans, modò genibus nixus multis lacrymis præteritæ vitæ noxas eluere, Deum ſanctiſſimamque Dei matrem intenta ſupplicati-



φανερώσῃ. ἐπιτυχὼν οὖν ἱερέως τινὸς ἀσκητοῦ, τὸ γένος Κέλτου Ἰωάννου Κλάνωνος, τοῦ τῇ ἁγιότητι ἐνδόξου καὶ εὐδοκίμου ἀνδρὸς, τρεῖς ἡμέρας πάντα τοῦ παρεληλυθότος αὐτοῦ βίου ἁμαρτήματα μεγάλῃ ἀκριβείᾳ, καὶ τῆς ψυχῆς συντρίψει δεινοτάτῃ αὐτῷ ἐξωμολόγησε. καὶ οὗτος δὴ πρῶτος ἐγένετο, εἰς οὗτινος, ὡς πατρὸς καὶ διδασκάλου κόλπον τὰς βουλὰς καὶ ἐνδοτάτας διανοίας αὐτοῦ ἐξέχευε. καὶ τὸ μὲν κτῆνος, ἐφ' οὗ ὤχησε, τῷ μοναστηρίῳ κατέλιπε, τὸ δὲ ξίφος, καὶ τὸ ἐγχειρίδιον, οἷς τῷ κόσμῳ ἐστρατεύσατο, ἔμπροσθεν τοῦ τῆς ἁγίας παρθένου θυσιαστηρίου, εἰς τὸν θόλον ἀναρτηθῆναι ἐκέλευσε, τὴν νέαν στρατείαν δεξιωσάμενος, καὶ βέλτιον καθωπλισμένος, ὅπως τὸ λοιπὸν τῷ θεῷ στρατεύσηται. αὐτονυχεὶ, πρὸ τῆς ἑορτῆς, ᾗ ὁ τοῦ θεοῦ λόγος ἐν τῇ τῆς ἁγιωτάτης μητρὸς κοιλίᾳ τὴν ἡμῶν ἀνθρωπότητα περιβέβληται, τῷ τῆς σωτηρίας ἡμῶν ἔτει α φ', κ β'. ὡς ἠδυνήθη λαθραιότατα πένητί τινι προσελθὼν, ἱμάτια αὐτοῦ πάντα μέχρι τοῦ ἐσχάτου χιτωνίσκου, ἐκδεδυμένα αὐτῷ ἐδωρήσατο, καὶ τὸν πεποθημένον σάκκον, ὃν πρὸ ὀλίγου ἠγόρησεν, ἐνεδύσατο. τούτῳ ἀμφιέσματι κοσμηθεὶς ὁ νεοπτόλεμος ἐναντίον τοῦ θυσιαστηρίου τῆς ἁγίας παρθένου ἐπαννύχισε, καὶ ὁτὲ μὲν ἱστάμενος, ὁτὲ δὲ γονυπετῶν πολλοῖς δάκρυσι τὰς τοῦ παρῳχημένου χρόνου αἰτίας ἐξαλείφων, τὸν θεὸν καὶ τὴν ἁγιωτάτην θεοτόκον ἐκτενεῖ ἱκετείᾳ ἐξίλα.

plicatione propitiare non destitit. Porrò ne qua illius fama vulgaretur, priusquam dilucesceret, inde digressus, atque à militari via, quæ Barcinonem ducit, deflectens, Minoressam tribus à Monteserrato milliarijs dissitam vrbem contendit.

Hilaris alacerque gradiebatur Ignatius, aspero deformique corporis cultu, fune præcinctus, tornatilem baculum manu gestans, capite sinistroque pede nudatis: dextro enim, propterea quòd ex vulnere debilior erat, & singulis noctibus intumescebat, sparteum calceum induxerat. Sed enim exultantem gaudio animum, nonnulla mox tristitia Deus contraxit. Etenim citato gressu quidam eum insecutus est, vt percunctando cognosceret, pauperíne dedisset pretiosas illas vestes & elegantes, ob quas quasi furto sublatas miser a iudice in carcerem compactus esset. Hic vt innocentem periculo liberaret, veritatem quidem ingenuè est confessus, vimque lacrymarum profudit, seipsum incusans, qui ne quidem de altero bene mereri posset, nisi pudore simul iniuriaque afficeret; nomen autem suum, genus ac patriam exquirenti, nequaquam aperuit, quòd nihil opus esse existimaret, & alioqui latere atque contemni, quàm honorari mallet.

Mino-



ἐξιλασκόμενος διετέλεσεν. ἵνα δὲ αὐτοῦ φήμη μὴ διαφοιτήσῃ, πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, ἐκεῖθεν ἀπελθὼν, καὶ τὴν ὁδὸν δημοσίαν τὴν εἰς τὴν Βαρκινῶνα ἄγουσαν, ἐκτραπόμενος εἰς τὴν Μινέρβισσαν τὴν τοῦ Μοντισερράτου τρισὶ μιλιαρίοις ἀπέχουσαν πόλιν ἐπορεύθη.

Ἱλαρὸς δὴ καὶ εὔθυμος ὁ Ἰγνάτιος ὡδοιπόρει, τὸ σῶμα τραχέως καὶ ἀμόρφως ἠμφιεσμένος, καὶ χοίνῳ περιεζωσμένος, τῇ χειρὶ βακτηρίαν τορνευτὴν βαστάζων, τὴν κεφαλὴν, καὶ τὸν ἀριστερὸν πόδα γυμνὸς ὤν· τὸν γὰρ δεξιὸν ἐκ τοῦ τραύματος ἀσθενέστερον ὄντα, καὶ καθ' ἑκάστην νύκτα ἀνοιδοῦντα, σπαρτίνῳ ὑποδήματι ἐνεδύσατο. Ἀλλὰ μὴν τὸν γεγηθότα ὁ θεὸς παραυτίκα πως ἐλύπησε. σπεύδων γάρ τις αὐτὸν ἐδίωξε, τοῦ πυθέσθαι, πότερον τὰ τίμια καὶ καλὰ ἱμάτια πένητι ἔδωκε, δι' ἃ ὡς κλεφθέντα, τοῦτον τὸν σχέτλιον ὁ δικαστὴς εἰς δεσμωτήριον ἐνέβαλεν. τότε ἵνα αὐτὸν ὡς ἄκακον τοῦ κινδύνου ἀπαλλάγῃ, τὴν μὲν ἀλήθειαν ἐξωμολόγησε, πολλὰ δάκρυα ἀφεὶς, καὶ ἑαυτῷ ἐγκαλέσας, ὡς τὸν ἄλλον, εἰ μὴ ἅμα καταισχυνθέντα καὶ ἀδικηθέντα οὐ δυναμένῳ εὐεργετεῖν· τὸ δ' ὄνομα, γένος τε καὶ πατρίδα ἀναζητοῦντι οὐδαμῶς ἐδήλωσε, τοῦτο μὴ ἀναγκαῖον εἶναι νομίζων, λανθάνειν τε μᾶλλον καὶ καταφρονεῖσθαι, ἢ τιμᾶσθαι προαιρούμενος.

Ἐν

Minoreſſæ ad noſocomium S. Luciæ rectà diuertit, vt cum ceteris mendicis quotidie precariò victum oſtiatim quæreret. Ibi talem rationem iniuit, vt duro quodam & auſtero genere vitæ corpus affligeret, ſenſus coërceret, & inaniſſimas earum rerum, quæ memoriæ priùs inhæſerant, imagines prorſus abſtergeret. Quoniam verò in compoſitione comæ nimiam olim curam diligentiamque poſuerat, nudo capite dies & noctes inceſſit, capillos promiſit impexos & ſquallidos, ac per eundem ſui contemptum paſſus eſt vngues barbamque excreſcere. Obductus erat illo ſacco, quem diximus, humo nuda cubabat, noctes pœne ducebat inſomnes, præteritorumque peccatorum memoria magnam ei lacrymarū vim exprimebat. Singulis diebus iterum & tertiò ſeſe flagellis acerrimè cędebat, flexiſque humi poplitibus orationem in ſeptenas horas magno animi ſenſu producebat. Matutino ſacrificio, Veſperarum & Completorij officijs attenta animi cogitatione intererat, qui quantò erat mitior atque tenerior, tantò facilius impreſſiones cæleſtium rerum, diuinaſque laudes in intimas medullas admittebat. Semel in die corpus reficiebat ſolo pane & aqua contentus, ad eum modum

dum



Ἐν τῇ Μινορέσσῃ εἰς τὸ τῆς ἁγίας Λουκίας νοσοκομεῖον εὐθὺ κατέλυσε, τοῦ τὴν ἐφήμερον τροφὴν σὺν τοῖς ἄλλοις πτωχοῖς κατὰ θύρας ἐπαιτεῖν. ἐκεῖ τὸν βίον οὕτω διῴκησεν, ὥστε τὸ σῶμα τραχέως καὶ αὐστηρῶς ἀπέθλιβε, τὰς αἰσθήσεις κατεῖχε, καὶ τὰς κενοτάτας φαντασίας τῶν πραγμάτων τῶν πρότερον τῇ μνήμῃ συνημμένων παντελῶς ἠφάνιζεν. ἐπειδὴ δὲ ἐν τῷ ἔμπροσθεν χρόνῳ τὴν ἄγαν σπουδὴν τοῦ εὔσχημον εἶναι, ἐποιεῖτο, τὴν κεφαλὴν γυμνὸς ἡμέρας καὶ νύκτας περιεπάτησε, τάς τε τρίχας ἀκτενίστους καὶ αὐχμηρὰς καθεὶς, καὶ τοὺς ὄνυχας καὶ τὸν πώγωνα διὰ τὴν αὐτοῦ καταφρόνησιν αὐξάνεσθαι ἐάσας. περιεβλήθη τὸν σάκκον, ὃν εἰρήκαμεν, ἐχαμεύνει, καὶ σχεδὸν ἐπαννύχιζε, τῆς τῶν παρεληλυθυιῶν ἁμαρτιῶν μνήμης μέγα πλῆθος τῶν δακρύων αὐτοῦ ἐκπιεζούσης. καθ' ἑκάστην τρὶς ἑαυτὸν δεινότατα ἐμαστίγου, καὶ τῇ προσευχῇ ἑπτὰ ὥρας ὁλοψύχως προσκαρτερήσας χαμαὶ ἐγονυπέτει. τῇ λειτουργίᾳ καὶ ταῖς τοῦ ἑσπερινοῦ, καὶ τοῦ ἀποδείπνου ἀκολουθίαις ψυχῇ προσεχεστάτῃ παρεγίνετο· ἥτις ὅσῳ πρᾳότερον καὶ τερεινότερον διέκειτο, τοσούτῳ ῥᾷον τὰς εἰσρύσεις τὰς οὐρανίους, καὶ τοὺς ὕμνους τοὺς θείους ἐν τῷ ἐνδοτάτῳ μυελῷ ἐλάμβανε. δι' ἡμέρας ἅπαξ ἤσθιε, μόνῳ ἄρτῳ καὶ ὕδατι ἀγαπῶν, καὶ τοῦτον

τρόπον

dum ſingulis diebus ieiunabat, exceptis Dominicis, quibus obibat ſacra Confeſſionis & Euchariſtiæ myſteria. Tanto denique ſtudio appetitiones animi domabat, eaſque rationis ſubijciebat imperio, vt ſibi ſubtraheret illud omne, quod corpus aliquo voluptatis ſenſu poſſet afficere. Quocirca licet optimam corporis conſtitutionem eſſet ei largita natura, hanc tamen tanta vitæ aſperitas paucis diebus ita afflixit, vt magnam ei debilitatẽ attulerit.

## CAPVT III.

*Angitur ſcrupulis conſcientiæ, morbisque tentatur; curatus diuinis reuelationibus illuſtratur. Memoria eius monimentum Minoreſſæ.*

NEque tamen iſta domandi corporis ratio tantùm vires eius extenuauit, quantùm animi ægritudo ſcrupulique fregerunt. Etenim quamuis omni cura totius vitæ maculas ſacra confeſſione deleuiſſet, vt diximus: Deus tamen, qui ſic eum exercere decreuerat, ad eum penitus expiandũ, tantis animi moleſtijs exagitari permiſit, vt nec ab oratione leuamen, nec à ieiunijs, vigilijs, acerrimisque flagellis, vel alio acerbitatis genere tanto vulneri remedium vllum



τρόπον καθ' ἑκάστην ἐνήστευσε, πλὴν τῶν κυριακῶν, αἷς τοῖς τῆς ἐξομολογήσεως καὶ τῆς εὐχαριστίας μυστηρίοις προσεφέρετο. τέλος δὲ τοσαύτῃ σπουδῇ τῶν τῆς ψυχῆς ἐπιθυμιῶν ἐκράτει, καὶ αὐτὰς τῇ τοῦ λόγου ἀρχῇ κατεδούλου, ἵνα πάντα τὰ τὸ σῶμα τέρπειν πως πεφυκότα ἑαυτοῦ ὑφέλῃ. καίπερ τοίνυν μεγίστης εὐεξίας παρὰ τῆς φύσεως μεταλαβών, ὅμως αὐτὴν ὀλίγαις ἡμέραις ἡ τοῦ βίου αὐστηρότης οὕτως ἐκάκωσεν, ὥστε μεγάλην ἀρρωστίαν αὐτῷ ἐπιγενέσθαι.

## Κεφάλαιον γ'.

Ταῖς τῆς συνειδήσεως ἀπορίαις ἀποθλίβεται, καὶ νοσεῖ· θεραπευθεὶς ταῖς τοῦ θεοῦ ἀποκαλύψεσι φωτίζεται· μνημεῖον αὐτοῦ ἐν τῇ Μινορέσσῃ κατασταθέν.

Καίτοι γε τοῦτον τὸν τρόπον δαμάσαι τὸ σῶμα οὐχ οὕτως αὐτόν, ὡς ἡ λύπη καὶ αἱ τῆς συνειδήσεως ἀπορίαι ἠσθένωσαν. εἰ καὶ γὰρ τὰς τοῦ βεβιωμένου βίου πάσας ἁμαρτίας, καθὼς εἴρηται, ἀκριβέστατα ἐξωμολόγησεν, ἀλλ' οὖν ὁ θεός γε, ὁ αὐτὸν τοῦ παντελῶς καθαρισθῆναι, οὕτως ἀσκεῖν προελόμενος, τοσαύταις λύπαις ἐνοχλεῖσθαι εἴασεν, ὥστε μηδ' ἐκ τῆς προσευχῆς κουφισθῆναι, μηδ' ἐκ τῶν νηστειῶν, ἀγρυπνιῶν, δεινοτάτων μαστιγώσεων, ἢ ἐκ τῆς ἄλλης αὐστηρότητος, τοσούτῳ τραύματι θεραπείαν τινά

vllum acciperet; quin tanta eum vis ægritudinis animi id temporis deprimebat, vt affixus solo hæreret, quasi vndis & tempestate maris oppressus. Atque illa procella tantum inualuit, vt quasi amisso gubernaculo, & omni consolatione destitutus, statuerit neque cibum, neque potionem gustare) nisi de vita periclitaretur) quoad esset optatam animi pacem & tranquillitatem adeptus. Hac lege sibi indicta, septem ipsos dies omni pastu atque potu sese abstinuit, nihil interim de quotidiana septem horarum oratione, nihil de trina verberatione, nihil de reliqua exercitatione remittens. Et eam quidem inediam porrò continuasset, nisi communicato cũ eo sacerdote consilio, cuius in aure peccata deposuerat, is omnino id fieri prohibuisset, & cibum sumere, interposito etiam obedientiæ nomine, iussisset. Audiens dicto fuit Ignatius, quamuis nihil admodũ de pristinis viribus decessisse sentiret. Propter quam simplicem obedientiam, & inflammatos animi motus cum diuina precatione coniunctos, lacrymarumque vbertatem, cum tandẽ recreare Deo est visum, eiusque mentem tam noua ac cælesti luce perfundere, ita animum tranquillare, tamque admirabilem ei spirituum discretionẽ

largiri,



τινὰ ἔχειν· ἀλλὰ δὴ καὶ εἰς τοσοῦτον ἀδημονίας τότε ἦλθεν, ὥστε τῷ ἐδάφει οἱονεὶ κυματούμενος καὶ χειμαζόμενος ἐκολλήθη. καὶ θύελλα ἐκείνη οὕτως ἐνίσχυεν, ὡς καθάπερ τὸ πηδάλιον ἀπολέσας, καὶ ἀπαράκλητος γενόμενος προῄρηται, μηδὲ τῆς βρώσεως, μηδὲ τῆς πόσεως γεύσασθαι (πλὴν εἰ περὶ τῆς ζωῆς κινδυνεύσειεν) ἕως ἂν τῆς ποθητῆς εὐθυμίας ἐπιτύχῃ. τοῦτον τρόπον ἑαυτῷ νομοθετήσας ἑπτὰ μὲν ἡμέρας τοῦ βρώματος καὶ τοῦ πόματος ἀπείχετο, καὶ μηδὲν τῶν δεήσεων τῶν δι' ἑπτὰ ὡρῶν γενομένων, μηδὲ τῆς τριοσῆς μαστιγώσεως, μηδὲ τῶν λοιπῶν ἀσκήσεων ἐχάλασε. καὶ οὕτως ἀσιτῶν ἐπὶ πλέον ἂν διετέλεσεν, ἐὰν μὴ ὁ ἱερεὺς, ὁ τὰ ἁμαρτήματα αὐτοῦ ἐξομολογουμένου ἀκούων, καὶ τοῦτο παρ' αὐτοῦ κοινολογουμένου πυνθανόμενος, κωλύσῃ μὴ γενέσθαι, καὶ φαγεῖν αὐτῷ δι' ὑπακοῆς ἱερᾶς ἐπιτάξῃ. καὶ τοῖς εἰρημένοις ὁ Ἰγνάτιος ἐπειθάρχησε, καίπερ τῆς ῥώμης τῆς προτέρας οὐ πάνυ μειωθείσης αἰσθόμενος. διὰ ταύτην δὲ τὴν ἁπλῆν ὑπακοὴν, καὶ τὴν τῆς ψυχῆς ζέσιν, προσευχάς τε θείας, καὶ τὸ τῶν δακρύων πλῆθος, τῷ θεῷ ποτε ἔδοξεν αὐτὸν ἀναψύξαι, καὶ τὸν νοῦν αὐτοῦ οὕτω νέῳ καὶ οὐρανίῳ φωτὶ διαφωτίσαι καὶ γαληνῶσαι, καὶ τῶν πνευμάτων διάκρισιν οὕτω θαυμαστὴν αὐτῷ χαρίσασθαι, ὥστ' οὐδεὶς

ἂν,

largiri, neminem vt tanta vexaret religionis anxietas, quem non ab eodem ipse cōsultus omni molestia liberaret. Nec illud modò singulare beneficium in eum Deus contulit, sed insuper, vt suo loco dicemus, alia permagna beneuolentiæ signa monstrauit, vt illud Vatis vsurpare posset. *Secundùm multitudinem dolorum meorum in corde meo, consolationes tuæ lætificauerunt animam meam.* Tanta porro luce Deus animum serui sui vel in his initijs collustrauit, adeoque accuratum studium ipse posuit in notanda ratione, & viâ, qua idem Deus ad se regendum, & ad cumulatissimæ virtutis gloriam perducendum vtebatur, vt, licet ad illud vsque tempus armorum studio fuisset deditissimus, & ita litterarum expers, vt legere solùm nosset & scribere; librum tamen sacrarum commentationum scripserit, doctrina cælestibusq; delitijs adeo refertum, facilè vt perspici possit, eum Spiritus Sancti gratia edoctum fuisse, qui, quod in eo deerat scientiæ doctrinæque, suppleuerit. Est enim incredibile, quantum fructum ex eo libro postea ceperint, qui ad sacras illas exercitationes & meditationes accesserunt, quantaque inde vtilitas ad omnem ecclesiam, nec minus ad religiosas familias, quàm ad

alios



ἣν, αὐτῷ ὑπὲρ τῆς αὐτοῦ ἀμηχανίας τῆς περὶ τὰ τῆς συνειδήσεως συμβουλευσάμενος, ὅστις οὐχ ὑπ' αὐτοῦ πάσης λύπης ἀπηλλάχθη· μὴ μόνον δὲ ταύτην τὴν δωρεὰν τὴν ἔξοχον ὁ θεὸς αὐτῷ ἔδωκεν, ἀλλὰ καὶ πάμπολλα τῆς εὐνοίας σημεῖα (καθὼς ἐν καιρῷ λέξομεν) ἔδειξεν, ἵν' ἂν τὸ τοῦ προφήτου εἰπεῖν δύναιτο. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου. τοῦτον δὴ τρόπον ὁ μὲν θεὸς τὴν ψυχὴν τοῦ δούλου αὐτοῦ, καὶ ἐν ταύτῃ τῇ ἀρχῇ διεφώτισεν, αὐτὸς δὲ τοσοῦτον ἐφρόντισε περὶ τὸ ἐπιτηρῆσαι τὴν μέθοδον, τῆς τοῦ θεοῦ κυβερνήσεως τῆς ἐν αὐτῷ γινομένης, τοῦ εἰς τὸ ἄκρον τῆς ἀρετῆς αὐτὸν παραγαγεῖν, ὥστε, καίπερ μέχρι τούτου μεγίστην ἐπιμέλειαν τῶν ὅπλων ποιησάμενος, καὶ οὕτως ἀπαίδευτος γινόμενος, ὡς μόνον ἀναγινώσκειν καὶ γράφειν ἐπίστατο, ἀλλ' ὅμως βιβλίον ἱερῶν μελετῶν τῆς ἐπιστήμης καὶ οὐρανίου τρυφῆς μεστὸν συνέταξεν, ὥστε φανερὸν γενέσθαι, ὅτι ὑπὸ τοῦ ἁγίου πνεύματος, τοῦ γὰρ τῆς τέχνης καὶ τῆς ἐπιστήμης ἐλλειπὲς ἐκπληρώσαντος, ἐδιδάχθη. ἄπιστον γάρ ἐστιν, ὅσων ἀγαθῶν οἱ περὶ τὰς ἱερὰς ἐκείνας μελέτας καὶ ἀσκήσεις σπουδάσαντες, ἐκ τούτου βιβλίου μετέπειτα ἀπολελαύκασι, καὶ ὅσον ὑπ' αὐτοῦ πᾶσα μὲν ἡ ἐκκλησία, οὐχ ἧττον δὲ αἱ τῶν ἀσκητῶν οἰκίαι, καὶ οἱ

ἄλλοι

alios quoscunque peruenerit. Eum librum Paulus III. Pont. Max. diligenter examinatum & expensum breui diplomate approbauit, quo cunctos ad eum legendum, animumque ad eas meditationes appellendum hortatur. Sed quia noster Ignatius in seipsum erat durior, nec quidquam de solita acerbitate remittebat, immoderatis laboribus corporis, & perpetuis animi contentionibus victus, in grauem morbum incidit, cui interea ciues Minoressani omnia necessaria magna charitate suppeditabant, quorum in animis tanta vis amoris in Ignatium est impressa, vt quamuis octoginta iam anni effluxerint, Minoressæ tamen exstet etiamnum recens & iucunda memoria, hæreantque vitæ illius monimenta non pauca. Incolæ enim & magna vsque hodie pietate frequentant ea loca, in quibus ille commorari & orare consueuerat, & eius precibus diuinam opem implorant. Quin etiam Ioannes Baptista Cardona, Doctor & Episcopus Vichensis (cuius in diœcesi Minoressa sita est) & electus Dertudensis, Minoressæ in Ecclesia B. Luciæ, antea Valetudinario pauperũ, vbi Societatis IESV auctor Ignatius pœnitentiæ duxit exordium, ad memoriam pœnitentiæ illius sempiternam





ἄλλοι πάντες ὠφεληθῶσιν, τοῦτο τὸ βιβλίον Παῦλος ὁ τρίτος ὁ ἄκρος ἀρχιερεὺς ἀκριβῶς ἐξετάσας καὶ σταθμησάμενος βραχεῖ διπλώματι ἐκύρωσε, καὶ πάντας εἰς τὴν αὐτοῦ ἀνάγνωσιν, καὶ τὴν τῶν μελετῶν ἐκείνων σπουδὴν παρώξυνεν. ἀλλὰ μὴν ὁ Ἰγνάτιος ἑαυτοῦ οὐ φειδόμενος, οὐδέ τι αὐστηρᾶς διαίτης τῆς εἰωθυίας παραλείπων, διὰ τὴν τοῦ νοὸς συνεχῆ ὁρμὴν δεινῇ νόσῳ περιέπεσεν, ᾧτινι οἱ Μινορεσσαῖοι ἐν τούτοις πάντα τὰ ἐπιτήδεια φιλοφρόνως ἐπέλεσαν, οἷστισι τοσαύτη εὔνοια εἰς τὸν Ἰγνάτιον ἐνεβλήθη, ὥστε ἐν τῇ Μινορέσσῃ, ὀγδοήκοντα ἐτῶν νυνὶ παρεληλυθότων, ἔτι καὶ νῦν τὴν αὐτοῦ ἀνάμνησιν νέαν καὶ ἡδεῖαν σώζεσθαι, καὶ τοῦ βίου αὐτοῦ μνήματα πολλὰ διαμένειν. οἱ γὰρ ἔνοικοι μέχρι τῆς σήμερον ἡμέρας ὡς μάλα εὐλαβῶς εἰς τούσδε τοὺς τόπους, ὅπου αὐτὸς διάγειν καὶ προσεύχεσθαι εἴωθε, φοιτῶσι, τὴν τοῦ θεοῦ βοήθειαν τῇ αὐτοῦ δεήσει ἀνακαλοῦντες. πρὸς τούτοις ὁ Ἰωάννης Βαπτιστὴς Καρδώνας ὁ τῆς θεολογίας διδάσκαλος καὶ ἐπίσκοπος τῶν Βιχέων (ἐν οὗ διοικήσει ἡ Μινόρεσσα κεῖται) καὶ ἐκλεκτὸς τῶν Δερτυσέων, ἐν Μινορέσσῃ ἐν τῷ ἱερῷ τῆς ἁγίας Λουκίας τῷ πρότερον νοσοκομείῳ τῶν πτωχῶν γενομένῳ, ὅπου ὁ Ἰγνάτιος τὴν τῆς μετανοίας ἀρχὴν ἐποιήσατο εἰς τὴν αὐτῆς ἀΐδιον μνήμην

lapideam pyramidem pręclara cum inscriptione erigendam curauit, quam, quia res est singularis, hominumque regionis illius iudicia de sanctitate Patris nostri testatur, huc afferendam putaui. Est autem eiusmodi.

*Ignatio de Loiola Bertrandi filio, Cantabro, Clericorum Societatis IESV parenti: qui anno ætatis suæ trigesimo in arce Pampelonensi cum Gallis acriter pro patriæ defensione pugnauit, & acceptis mortiferis plagis, iisque singulari Dei ope curatis, incensus desiderio adeundi loca sancta vrbis Hierosolymorum, dedit se in viam voto castitatis obstrictus, & relictis armis, quæ tanquam miles secum portarat, iisque in æde B. Virginis Montisserrati suspensis, sacco vestitus ac pænè nudus, cœpit superioris vitæ peccata deflere, & vt nouus Christi miles inedia, lacrymis & oratione semetipsum vlcisci.*

*In memoriam tantæ rei Deique gloriam, honorem & splendorem Societatis eius, Ioannes Baptista Cardona Valenti-*





λιθίνην πυραμίδα σὺν ἐπισήμῳ ἐπιγραφῇ κατέστησεν, ἣν ὡς ἐξαίρετον οὖσαν, καὶ τὴν τῶν ἐπιχωρίων ἐκείνων γνώμην, τὴν περὶ τῆς τοῦ πατρὸς ἡμῶν ἁγιότητος μαρτυροῦσαν, ἐμοὶ ὧδε προσθεῖναι ἔδοξεν. ἡ δὲ ἐπιγραφὴ τοιαύτη ἐστί.

Τῷ Ἰγνατίῳ Λοϊωλαίῳ τῷ τοῦ Βερτράνδου υἱῷ, Καντάβρῳ, τῶν κληρικῶν τῆς ἑταιρίας Ἰησοῦ ἀρχηγῷ· ὃς μὲν τριάκοντα ἔτη γεγονὼς ἐν τῇ τῆς Παμπελῶνος ἀκροπόλει ὑπὲρ τῆς πατρίδος τοῖς Κέλταις ἀνδρείως μαχεσάμενος, καὶ ἐπιθανάτως πληγείς, θείως ἐθεραπεύθη· ἐπιθυμήσας δ' εἰς τοὺς ἁγίους τόπους τῆς πόλεως τῶν Ἱεροσολύμων ἀποδημεῖν, τὴν ὁδοιπορείαν ἀνεδέξατο, τὴν αὑτοῦ ἁγνείαν τῷ θεῷ εὐξάμενος, καὶ τὰ ὅπλα, ἅπερ ὡς στρατιώτης ἐκόμισεν, ἐν τῷ τῆς μακαρίας παρθένου ναῷ τῷ ἐν Μοντεσερράτῳ ἀνατεθέντα καταλιπών, τὸν σάκκον περιβεβλημένος, καὶ σχεδὸν γυμνὸς ὤν, τὰς τοῦ προτέρου βίου ἁμαρτίας θρηνῆσαι, καὶ ὥσπερ νέος στρατιώτης τοῦ Χριστοῦ, τῇ ἀσιτίᾳ, τοῖς δάκρυσι καὶ τῇ προσευχῇ ἑαυτὸν τιμωρῆσαι ἐξῆρχεν.

Εἰς ταύτης τῆς ἀνδραγαθίας μνήμην, καὶ τὴν δόξαν τοῦ θεοῦ, τήν τε τῆς ἑταιρίας αὐτοῦ τιμὴν καὶ κλέος, ὁ Ἰωάννης Βαπτιστὴς Καρ-

*nus Episcopus Vichensis, & Dertudensis electus, pro suo in ipsius Patris sanctitatem atque eius ordinem amore, hunc lapidem hoc in loco collocandum curauit vt sanctißimo viro, cuique vniuersa Christiana respublica multum deuincta est. Sixto V. Rom. Pont. & Catholico Rege Hispaniarum maximo Philippo II.*

## CAPVT IIII.

*Religionis ergo Romam, inde Hierosolymam contendit, quaque ei hac in peregrinatione contigerunt.*

IAm verò cùm aliquantulum recreatus videretur ex morbo, in eum iterum & tertiò relapsus est, propterea quòd inuicto constantique animo sibi maius onus, quàm ferre posset, imponeret. Sed vsu tandem edoctus & incredibili stomachi dolore ac hyemis asperitate victus, de sententia amicorum, corpus duabus tunicis vilibus, cineritij coloris breuibus horridisque operuit, caput verò eiusdem coloris dimidiato velut cucullo contexit. Ac in eo quidem vitæ genere noster Ignatius annum pæne Minoresæ commoratus constanter perseuerauit. Sed quoniam Deus cum



δώνας Οὐαλεντιαῖος ὁ ἐπίσκοπος τῶν Βιχέων, καὶ ἐκλεκτὸς τῶν Δερτυδέων, κατὰ τὴν αὐτοῦ ἀγάπην τὴν πρὸς τοῦ πατρὸς ἁγιότητα καὶ αὐτοῦ τάξιν, τήνδε τὴν στήλην ὡς ἁγιωτάτῳ ἀνδρὶ ὅλον τὸ τῶν χριστιανῶν κοινὸν μεγάλα εὐεργετήσαντι ὧδε κατέστησεν, ἐπὶ τοῦ Σίξτου Πάπα, καὶ τοῦ Φιλίππου τοῦ δευτέρου τῆς Ισπανίας βασιλέως καθολικοῦ.

## Κεφάλαιον δ'.

Τῆς εὐσεβείας ἕνεκα εἰς τὴν Ῥώμην, κἀκεῖθεν εἰς τὰ Ἱεροσόλυμα πορεύεται· καὶ τὰ αὐτῷ ἐν τῇ ἐκείνῃ ἀποδημίᾳ συμβάντα.

ΕΠὶ ποσὸν δ' ἐκ τῆς ἀσθενείας ἀναρραίσαι νομισθεὶς τῇ αὐτῇ τὸ δεύτερον καὶ τρίτον περιέπεσεν, ἀνθ' ὧν ἀηττήτῳ καὶ εὐσταθεῖ θυμῷ μεῖζον φορτίον, ἢ καθ' ἑαυτὸν, ἤρατο. ἀλλὰ μὴν τελευταῖον τῷ ἔργῳ πειραθεὶς, τῇ τε μεγίστῃ κακοστομαχίᾳ, καὶ τῇ τοῦ χειμῶνος χαλεπότητι νικηθεὶς, κατὰ τὴν τῶν φίλων γνώμην, δύο μὲν χιτωνίσκους εὐτελεῖς, βραχεῖς, τεφρώδεις καὶ τραχεῖς ἐνεδύσατο, ἐπὶ δὲ τὴν κεφαλὴν ἡμιπίλιον ὁμόχρουν ἔλαβε. καὶ οὕτω μὲν ὁ Ἰγνάτιος ἐν τῇ Μινορέσῃ σχεδὸν ἔτος τὸν βίον ἀμετακινήτως διήγαγεν· ὁ δὲ θεὸς, ὁ αὐτὸν εἰς τὰ μείζω προορίσας, ἐκ τῆς ἐρημίας ἐκείνης ἀνεκάλεσε, καὶ τὸν πόθον τοῦ εἰς τὰ Ἱεροσόλυμα πορευθῆναι αὐτῷ ἐνεποίησεν. ἐκ τῆς οὖν Μινορέσης



ἀπῆλθεν

us eum ad maiora destinarat, ex ea solitudine reuocauit, & adeundi Hierosolymam ei mentem iniecit. Minoressa itaque discessit solo Deo comitatus, quicum solus agere, sine comitum impedimento cupiebat, tametsi complures huius itineris comites illi sese obtulissent: verùm ille solus Barcinonem contendit, propterea quòd totus à paterna Dei prouidentia & nutu pendere, nulla in hominibus spe posita, peroptabat. Barcinonense igitur templum ad audiendam concionem ingressus, sessum iuit in gradibus altaris inter medios puerorum greges. Illic Elisabetha Rosella nobilis mulier, vt nostrum peregrinum adspexit, nescio quo fulgore (vt ipsamet mihi Romæ narrauit) os ei collucere sibi visa est intueri, vocemque audire, qua illum iuberetur arcessere. Itaque peracta concione statim vocandum curauit, & ad viri sui prandium benignè adhibuit. hîc inter epulas mirari omnes eum de rebus diuinis magna grauitate differentem, insignique modestia ad amorem veri summique boni cohortantem. Myoparonem inde conscensurus erat, vti iam cum nauarcho pactus fuerat, sed Elisabethæ consilio mutauit pactionem, & relicto myoparone qui in vrbis conspectu naufragium fecit, in aliam nauē ingressus,

Caietam



ἀπῆλθεν ὑπὸ τοῦ θεοῦ μόνου παραπεμφθεὶς, ἅπει μόνος συνομιλεῖν, ἄνευ τοῦ τῶν συνοδοιπόρων ἐμποδισμοῦ, ἐφίετο, καίπερ πολλῶν αὐτῷ συνοδεύειν θελησάντων· αὐτὸς δὲ μόνος εἰς τὴν Βαρκινῶνα ἐβάδισεν, ἐκ τῆς τοῦ θεοῦ πατρικῆς προνοίας καὶ νεύματος παντελῶς ἀνηρτημένος, καὶ μηδεμίαν ἐλπίδα ἐν τοῖς ἀνθρώποις ἔχειν ἐπιποθῶν. οὐκοῦν εἰς τὸν τῆς Βαρκινῶνος ναὸν, τοῦ τῆς ὁμιλίας ἀκούειν, εἰσελθὼν, ἐν τοῖς τοῦ θυσιαστηρίου βαθμοῖς μεταξὺ τῶν παίδων ἐκάθισεν. αὐτόθι τῇ Ἐλισαβέτῃ Ῥοσέλλῃ τῇ εὐγενεῖ γυναικὶ τὸν ἀπόδημον ἡμῶν προσβλεψάσῃ, οὐκ οἶδα ὅπως τὸ πρόσωπον αὐτοῦ περιλάμπειν (καθὼς αὐτὴ ἐμοὶ ἐν τῇ Ῥώμῃ ἔφη) καὶ τῆς φωνῆς τῆς αὐτὸν προσκαλεῖσθαι κελευούσης ἀκούειν ἔδοξε. Διόπερ τῆς ὁμιλίας τελεσθείσης, εὐθέως αὐτὸν τοῦ τῷ ἀνδρὶ αὐτῆς συναριστᾶν, εὐμενῶς ἐκάλεσε. παρὰ δὲ τὴν εὐωχίαν πάντες αὐτοῦ περὶ τῶν θείων πραγμάτων μάλα σεμνῶς διαλεγομένου, καὶ εἰς τὸν τοῦ ἀληθινοῦ καὶ μεγίστου ἀγαθοῦ ἔρωτος σφόδρα ἐπιεικῶς παρορμῶντος ἠγάσθησαν. κἀκεῖ μὲν μυοπάρωνος ἐπιβῆναι ἤμελλε, καθὼς ἤδη τῷ ναυάρχῳ συνεφώνησε, τῆς δ' Ἐλισαβέτης συμβουλευούσης, τὴν συνθήκην μεταβαλὼν, καὶ τὴν μυοπάρωνα καταλιπὼν (ἣ ἐνώπιον τῆς πόλεως ἐάγη) εἰς ἄλλην ναῦν ἐνέβη, καὶ οὕτως εἰς τὴν

 Καίατ-

Caietam incolumis tenuit, vnde magnis cum incommodis & laboribus Romam petijt. Etenim anno cIↄ. Iↄ. xxIII. vt grauis pestilentia Italiam peruaserat, factum est, vt omnibus passim tectis ac mœnibus arceretur, & vbicunque nox eum occuparet, ibi subsistere cogeretur, neque vel tantillum progredi posset fame ac debilitate confectus. Nihilominus tamen quacunque ope potuit Romam Dominico Palmarum die peruenit, stationes vrbis augustaque ac sancta loca adiuit, atque apostolicam benedictionem ab Adriano VI. qui tum Dei Ecclesiam administrabat, accepit.

Romæ cùm ad dies quindecim subsisteret, multi Hierosolymitanam ei peregrinationē dissuadere conati sunt, obijciendis nauigationis longæ & infestæ periculis, durioris annonæ & morborum incommodis: sed obfirmatus eius animus omnes illorum conatus elusit. Quin etiam leuiter persuasus à quibusdam, vt ad persoluendum naulum septem vel octo aureos nummos acciperet, eos mox accepisse pœnituit, quòd id minimè conuenire, & cum extrema paupertate, quam maximè diligebat, pugnare videretur; quare factis obuiam pauperibus eos diuisit. Iam verò incredibile dictu est, quanta, quàm grauia pertulerit in tam longinqua peregrinatio-





Καϊάτην ἀφικόμενος, ἐκεῖθεν δυσχερῶς καὶ ἐπιπόνως εἰς τὴν Ῥώμην ἐπορεύθη. τῷ γὰρ ἔτει α φ κ γ', τοῦ λοιμοῦ τὴν Ἰταλίαν καταλαβόντος, πάντων οἴκων καὶ τειχῶν πανταχοῦ ἀπείρχθη, καὶ ὅπουπερ ἂν αὐτῷ ἡ νὺξ ἐπέλθῃ, ἐκεῖ μένειν ἠναγκάσθη· οὐδὲ καὶ μικρὸν προελθεῖν ἠδυνήθη τῷ λιμῷ καὶ τῇ ἀσθενείᾳ καταπονηθείς. οὐχ ἧττον ὅμως, ὁποιᾳοῦν βοηθείᾳ, τῇ τῶν βαΐων κυριακῇ εἰς τὴν Ῥώμην ἦλθε, καὶ τὰς τῆς πόλεως στάσεις, σεμνούς τε καὶ ἁγίους τόπους φοιτήσας τὴν ἀποστολικὴν εὐλογίαν παρὰ τοῦ Ἀδριανοῦ ς'. τοῦ τὴν ἐκκλησίαν τοῦ θεοῦ τότε κυβερνῶντος ἔλαβεν.

Ἐν Ῥώμῃ δὲ περὶ πεντεκαίδεκα ἡμέρας ἐπιμείναντα, πολλοὶ τῆς ἀποδημίας τῆς εἰς τὰ Ἱεροσόλυμα ἀποτρέψαι ἐπεχείρησαν, τούς τε τοῦ μακροῦ καὶ δυσχεροῦς πλοῦ κινδύνους, καὶ τὰς χαλεπότητας τῆς σιτοδείας καὶ τῶν νοσημάτων προβάλλοντες· ἀλλὰ διὰ τὸ αὐτὸν ἐγκαρτερεῖν τῷ δεδογμένῳ, τῆς ἐπιχειρήσεως αὐτῶν ἀπέτυχον. καὶ μὴν καὶ ἐλαφρῶς ὑπό τινων πεισθεὶς τὸ ναῦλον τῶν ἑπτὰ ἢ ὀκτὼ χρυσῶν λαβεῖν, τούτου αὐτῷ παραυτίκα μετέμελεν, ὅτι μηδαμῶς προσήκειν, ἀλλὰ τῇ ἐσχάτῃ πενίᾳ, ἣν ὡς μάλιστα ἠγάπα, ἐναντιοῦσθαι ἐδόκει· διὸ τοῖς πτωχοῖς αἰτῶσιν αὐτοὺς διένειμεν. πρὸς τούτοις ἄπιστον τοῦ λέγειν ὑπάρχει, πόσας δυσχερείας ἐν τῇδε τῇ ἀποδημίᾳ

ne incommoda. In publico quippe pernoctare, omnes eum à se repellere, ac veluti quoddam mortis simulacrum horrere, etiam eiusdem viæ comites & socij, squallore corporis atque oris pallore deterriti. Sed, qui testatur Dominus: *Non dimittam, neque derelinquam te,* Quiosâ Patauium abeunti in æquata agri planicie adesse visus, eum suauitate præsentiæ suæ recreauit, atque ad toleranda pro amore suo multò duriora erexit, facilem denique tum Pataui j, tum Venetijs ingressum præbuit: qua in vrbe legatum Caroli Cæsaris & Hispaniarum Regis conueniendum sibi non putauit, quòd non humanam gratiam, sed tantummodo diuinam expeteret. Sed ecce Venetijs noua difficultas rursus exorta est; quia non defuerunt, qui iterum eius nauigationis cogitationem ex animo conarentur euellere, propterea quòd anno superiore Rhodus insula in Solymanni Turcarum Imperatoris potestatem venisset, & febri fuisset afflictus Ignatius. Verùm nullæ machinæ potuerunt aut eius animi magnitudinem vincere, aut spem debilitare, quin si vel actuariolum è portu solueret, eo Hierosolymam ipse, Deo duce, traijceret.

Interea de more victum ostiatim quærebat, & in publica Sancti Marci area, eius ciuita-



ὑπέμεινεν. ἐν τῷ γὰρ παραθύρῳ διενυκτερεύει· πάντες, καὶ οἱ συνοδοιπόροι, αὐτὸν ὡς εἰκόνα τοῦ θανάτου ἀπώθουν, τῷ τοῦ σώματος αὐχμῷ καὶ τοῦ προσώπου αὐτοῦ ὠχρότητι καταπληχθέντες. καίτοι ὁ κύριος ὁ μαρτυρήσας· οὐκ ἐγκαταλείψω σε, οὐδ᾽ ὑπερόψομαί σε. ἐκ Κυιώσης εἰς τὸ Παταύϊον ἀπερχομένῳ, ἐν εὐρεῖ πεδίῳ ἐφάνη, τῇ τῆς παρουσίας αὐτοῦ ἡδύτητι αὐτὸν ἀναψύξας, καὶ ἔτι δεινότερα ὄντα, ὑπὲρ ἀγάπης αὐτοῦ, παθεῖν παροξύνας, τελευταῖον τὴν εἰς τὸ Παταύϊον καὶ τὰς Ενετίας εἴσοδον ῥᾳδίαν αὐτῷ παρεῖχεν· ἐκεῖ δὲ τῷ πρέσβει τοῦ Καρόλου τοῦ αὐτοκράτορος καὶ βασιλέως τῆς Ισπανίας ἐντυχεῖν οὐκ ἠθέλησε, τῆς τοῦ θεοῦ μόνον, ἀλλ᾽ οὐ τῶν ἀνθρώπων χάριτος ἐπιθυμῶν. ἰδοὺ δὲ καινὴ δυσχέρεια ἐν ταῖς Ενετίαις αὐτῷ συνέβη, πειρωμένων τινῶν πάλιν αὐτὸν τοῦ πλοῦ παντάπασιν ἀποτρέψαι, ἀνθ᾽ ὧν ὁ Σολύμαννος ὁ τῶν Τουρκῶν βασιλεὺς τὴν Ῥόδον πέρυσι ὑπέταξε, καὶ ὁ Ιγνάτιος πυρέττειν ἤρξατο. καίτοι ἡ μεγαλοψυχία αὐτοῦ μηδεμιᾷ μηχανῇ ἡττᾶσθαι, μηδ᾽ ἡ ἐλπὶς καταλύεσθαι ἠδυνήθη, αὐτοῦ οὕτω τῷ δεδογμένῳ ἐγκαρτεροῦντος, ὥστε πρόθυμον εἶναι, καὶ ἐν κωπήρει πλοίῳ τοῦ λιμένος ἐξορμιζομένῳ, ὁδηγοῦντος τοῦ θεοῦ, εἰς τὰ Ιεροσόλυμα διαπερᾶν.

Ἐν τούτοις ἐξ ἔθους αὐτοῦ τὸν βίον κατὰ θύρας συλλεγομένου, καὶ ἐν τῇ τοῦ ἁγίου Μάρκου πλατείᾳ τῇ δημο-

ciuitatis potiſſima, noctem exigebat, quando Senatorem è prima nobilitate ſuauiter quieſcentem in lectulo cæleſtis eiuſmodi vox excitauit è ſomno: Quorſum tam mollis & exquiſitus accubitus? domus adeo magnifica & lauta, interim dum ſeruus meus pernoctat nudus & pauper in publico? tu in pretioſo ſtrato decumbis; ille iacet in humo nuda ſub dio. Hic ille ingenti metu perculſus confeſtim è lecto ſe corripit, peregrinum quærit diligenter, deprehenſumque in area D. Marci humi cubantem, cùm eum eſſe ſentiret de quo vox illa monuerat, domum deduxit ac perhonorificè liberaliterque tractauit. Sed cùm honores & delitias eiuſmodi reſpueret, incidiſſetque in popularem quendam ac veterem ſodalem ſuum, multis ab eo precibus rogatus à lautiore hoſpitio ad eius conuictum ſe recepit. Haud longo interuallo ad Andream Grittum Venetorum ducem acceſſit, ab eoque contendit, vti eius auctoritate, prima nauigatione facultas ſibi tranſmittendi mare gratis concederetur. Annuit ille, præcepitque, vt prætoria naui, qua nouus Gubernator vehebatur, ſine naulo in Cyprum tranſportaretur. Soluit igitur prid. Id. Iul. anno CIↃ.IↃ.XXIII. quo die æger medicinam hauſerat, quamuis ob hoc medici manife-



omnibus quasi in miraculi loco ponebatur. Fructus autem respondit adeo copiosus, vt multi à turpitudine vitiorum ad honestam vitæ disciplinam reuocarentur, multaque præclara atque vtilia adleuandam inopum egestatem, & tollenda scelera decernerentur, vt non animis solùm, sed corporibus etiam prospiceretur ; quo factum est, vt totam breui regionem impleret & fama rerum mirabilium, & pulcherrimarum amore virtutum. In ijs enim sedibus Bastidum quendam nomine, multis annis comitiali morbo laborantem curauit : duas item fœminas, vnam quidem nobilem, quam exulcerati pulmones, tussis, macies phthisisq; extenuabat: alteram, quam spatio quatuor annorum spiritus malignus afflarat, aliaque mirabilia permulta prodigiorum loco habita, diuina virtute perfecit. Quamobrem eum vt virum sanctum, suspiciebant omnes, eiusque vestem religiosè attrectare conabantur. Tandem ea prouincia decessit omni viatico destitutus, ac precario victitans Pampelonam, Seguntum, Siquenciam, Toletum ad agenda sociorum negotia peragrauit. Inde Valentiæ nauim paratam conscendens, multis iactatus incommodis Venetias tenuit, vbi socios, vti Lutetiæ conuentum erat, operiretur.





θαύματος πᾶσί πως ἠριθμήθη. ὁ δὲ καρπὸς οὕτως ἄφθονος ἐγένετο, ὥστε πολλοὶ τῆς τῶν κακιῶν αἰσχρότητος ἀποτραπέντες, πρὸς τὴν τοῦ βίου σεμνοπρέπειαν ἀνεκλήθησαν, πολλά τε ἐπίσημα καὶ χρήσιμα ἔργα, εἰς τὸ τοῖς ἐν ἀπορίᾳ οὖσιν ὑπηρετεῖν, καὶ τὰ κακὰ ἀφαιρεῖσθαι, κατεστάθη, τοῦ μὴ μόνον τὴν τῆς ψυχῆς, ἀλλὰ καὶ τοῦ σώματος πρόνοιαν γίνεσθαι· διόπερ συνέβη, τὴν ὅλην περίχωρον ἐν βραχεῖ τῆς τε φήμης τῶν θαυμάτων, καὶ τοῦ ἔρωτος τῶν καλλίστων ἀρετῶν ἐμπλησθῆναι. ἐν τῷ γὰρ αὐτῷ τόπῳ Βάστιδόν τινα καλούμενον, πολλοῖς ἔτεσι τῆς ἱερᾶς νόσου καμόντα ἐθεράπευσεν· ὁμοίως καὶ δύο γυναῖκας, τὴν μὲν εὐγενῆ τῷ ἑλκώδει πνεύμονι, τῇ βηχὶ, καὶ τῇ λεπτότητι φθίνουσαν· τὴν δὲ τετραετίᾳ δαιμονιζομένην, καὶ ἄλλα πάμπολλα θαυμαστὰ ἔργα, τὰ τέρατα νομισθέντα, τῇ τοῦ θεοῦ δυνάμει κατειργάσατο. πάντες οὖν αὐτοῦ ὡς ἀνδρὸς ἁγίου ἀγασθέντες, τῆς ἐσθῆτος αὐτοῦ εὐλαβῶς ἅψασθαι ἐπεπόθησαν. τέλος δὲ ἐκ τῆς ἐκείνης χώρας ἀπῆλθε, καὶ παντὸς μὲν ἐφοδίου σπανίσας, τὰ δὲ ἐπιτήδεια ἀπαιτήσας, Παμπελῶνα, Σέγουντον, Σικουεντίαν, Τόλητον διώδευσε, τοῦ τὰ τῶν ἑταίρων διαπράττειν. ἐν τῇ δὲ Οὐαλεντίᾳ ναῦν παρεσκευασμένην ἐμβατεύσας, καὶ πολλαῖς συμφοραῖς ἐμπεσὼν εἰς τὰς Ἐνετίας ἀφίκετο, ὅπου τοὺς ἑταίρους, κατὰ συνθήκην τὴν ἐν τοῖς Παρισίοις προσεδέχα.

Sed quia dæmon apertas iam cum eo gerebat inimicitias, prospiciebatque ab eo sibi graue bellum imminere, sicut alibi, sic & Venetijs in inuidiam vocauit, ministrorumque suorum voce proclamauit, eum effigie ab Hispanis ignominiæ caussa publicè cremata, ex iudicij incendio profugisse. Sed ab his alijsque eiusmodi criminationibus Hieronymus Verallus Archiepiscopus Rosanus, qui tum apud Venetos summi Pontificis legatione fungebatur, posteaque in collegium patrum purpuratorum est cooptatus, Ignatium purgauit & innocentem absoluit. Itaque dum sociorum aduentum præstolatur, de solitis occupationibus nihil remittens; nonnullos sibi nouos commilitones pios & eruditos adsciuit, quosdam viros nobiles è Senatu virtutum studijs informauit, omnibus denique quibus eius erat sanctitas spectata & cognita, cum signa impressa pietatis, tum iucundissimam sui memoriam reliquit.

Tandem socij Lutetia Venetias appulerunt anno CIↃ. IↃ. XXXVII. ante diem 6. Id. Ianuar. multis laboribus exerciti tum pedestris itineris longitudine, tum anni tempestate incommoda. Sed omnes difficultates ac molestias freti cùm ope diuina, tum ardentes maiora pro Deo patiendi cupiditate, superarunt.





Ἐπειδὴ δὲ ὁ κακοδαίμων ἤδη φανερῶς αὐτὸν ἐμίσει, τὸν δεινὸν ὑπ' αὐτοῦ ἐπικείμενον πόλεμον προνοησάμενος, καθάπερ ἀλλαχοῦ, οὕτω καὶ ἐν ταῖς Ἐνετίαις φθόνον αὐτῷ συνήγαγε, τῇ τῶν ὑπηρετῶν αὐτοῦ φωνῇ διαβοήσας, ὅτι αὐτὸς ἀπὸ τῶν Ἰσπανῶν ἐκ τοῦ τῆς κρίσεως φλογμοῦ ἀπέδρα, τῆς αὐτοῦ εἰκόνος, τῆς ἀτιμίας ἕνεκα, δημοσίᾳ κατακαυθείσης. τούτων δὲ καὶ ἄλλων τοιούτων ἐγκλημάτων ὁ Ἱερώνυμος Βεράλλος, Ἀρχιεπίσκοπος Ροσαῖος ὁ πρὸς τοὺς Ἐνετοὺς ὑπὲρ τοῦ Πάπα τότε μὲν πρεσβεύσας, εἶτα δ' εἰς τοὺς Καρδιναλίους ἐγκριθείς, τὸν Ἰγνάτιον ἀνέγκλητον ὄντα ἀπέλυσεν. ἐν τῷ οὖν τὴν τῶν ἑταίρων ἄφιξιν ἀναμένειν, μηδὲν τῶν εἰωθυιῶν ἀσχολιῶν διαλιπών, ἐνίους μὲν εὐσεβεῖς καὶ παιδευτοὺς συστρατιώτας αὐτῷ προσείλετο, ἐνίους δ' ἄνδρας εὐγενεῖς ἐκ τῆς γερουσίας πρὸς τὴν ἀρετὴν ἐπαίδευσε, τέλος δὲ πᾶσιν, οἷσπερ ἡ αὐτοῦ ἁγιότης ἐδηλώθη, τόν τε τῆς θεοσεβείας χαρακτῆρα, καὶ τὴν αὐτοῦ μνήμην ἡδίστην κατέλιπεν.

Εἰς τέλος οἱ ἑταῖροι ἐκ τῶν Παρισίων εἰς τὰς Ἐνετίας, ἔτει α φ λ ζʹ. τῇ ηʹ. τοῦ Ἰανουαρίου διὰ τὸ τῆς πεζῆς ὁδοιπορείας μῆκος, καὶ τοῦ ἐνιαυτοῦ χαλεπὸν χειμῶνα σφόδρα ἐκπεπονημένοι προσωρμίσθησαν. ἀλλὰ μὴν τῇ τοῦ θεοῦ βοηθείᾳ πεποιθότες, καὶ τῷ πόθῳ τοῦ δεινότερα παθεῖν ὑπὲρ τοῦ θεοῦ φερόμενοι, πάντων χαλεπῶν καὶ δεινῶν περιεγένοντο.

Vt verò ad Ignatium nouis iam sodalibus auctum peruenerunt, quanta dici non potest inter sese gratulatione complexi; mox valetudinarijs distributis, ægros quacunque potuerunt ope recreare cœperunt. Inde Romam profecti eadem, qua Parisijs venerant ratione, ostiatim victum quærebāt, & per vernæ inediæ tempus quotidianū ieiunij legē accuratè seruabant. Deinde fausta Pauli III. Pont. Max. precatione, tum eius Hierosolymam nauigandi remanendique auctoritate muniti, ad Ignatium, qui Venetijs restiterat, summa item rerum omnium inopia regressi sunt. Ibi sacerdotio, qui sacerdotes non erant, initiati sunt eodem anno CIↃ. IↃ. XXXVII. D. Ioannis Baptistæ natali die, cùm prius vota paupertatis & castitatis ad pedes Sedis Apostolicæ legati nuncupauissent. Porro dum constitutæ Hierosolymitanæ nauigationis dies adesset, ne quid abiret temporis sine fructu, in varia interim Venetorum oppida socios distribui placuit. Ignatius ergo, Petrus Faber, & Iacobus Laynes Vicetiam profecti sunt, & in agri suburbani deserto, semiruto, ventisque peruio tuguriolo quadraginta diebus commorati, quo in loco Patres è Capucinorum familia sibi postea domum ædificarunt. Modicis stramentis humus tecta lectus erat: precarij pa-



Τῷ δ' Ἰγνατίῳ, νέοις ἑταίροις ἤδη αὐξηθέντι προσελθόντες οὐχ οἷόν ἐστιν εἰπεῖν ὁπόσῳ συγχάρματι ἀλλήλους περιέβαλον. καὶ εὐθέως τὰ νοσοκομεῖα διελόμενοι τοὺς νοσοῦντας κατὰ δύναμιν πάσῃ ἐπικουρίᾳ ἀναψύχειν ἤρξαντο. ἐκεῖθεν εἰς τὴν Ῥώμην πορευθέντες, καθὼς ἐκ τῶν Παρισίων ἦλθον, τὰ ἐπιτήδεια κατὰ θύρας ἐπήτησαν, καὶ τὸν νόμον τῆς καθημερινῆς νηστείας τῆς ἐν ἦρι εἰωθυίας ἀκριβῶς ἐτήρησαν. μετὰ ταῦτα τῇ ἱερᾷ τοῦ Παύλου τοῦ τρίτου Πάπα εὐλογίᾳ, καὶ ἐξουσίᾳ τοῦ εἰς τὰ Ἱεροσόλυμα ἀποπλεῖν, καὶ ἐκεῖ καταμένειν ἀσφαλισθέντες, πρὸς τὸν Ἰγνάτιον ἐν ταῖς Ἐνετίαις ὑπομείναντα πάντων σπανίζοντες ὑπέστρεψαν. Αὐτόθι οἱ μήπω ἱερεῖς ὄντες ἐμυήθησαν τῷ ἔτι α φ' λ ζ'. ἐν τοῖς τοῦ ἁγίου Ἰωάννου Βαπτιστοῦ γενεθλίοις, τὴν πενίαν καὶ ἁγνείαν πρὸς τοὺς πόδας τοῦ τῆς καθέδρας Ἀποστολικῆς πρέσβεως πρότερον ἐπευξάμενοι. μέχρι δὲ τοῦ τὴν ἡμέραν τεταγμένην τοῦ εἰς τὰ Ἱεροσόλυμα ἀπόπλου παρεῖναι, ἵνα μή τις χρόνος ἄκαρπος παρέλθῃ, εἰς διαφόρους πόλεις τῶν Ἐνετῶν ἐν τῷ μεταξὺ τοὺς ἑταίρους διαμερίζεσθαι ἔδοξεν. ὁ μὲν οὖν Ἰγνάτιος, ὁ Πέτρος Φάβρος, καὶ ὁ Ἰάκωβος Λαΰνης εἰς τὴν Βιτηπίαν πορευθέντες, ἐν τῇ τοῦ ἀγροῦ ὑπαστείου καλιάδι ἐρήμῳ, ἡμιπτώτῳ, καὶ προσηνέμῳ τεσσαράκοντα ἡμέρας διήγαγον, ὅπου μετέπειτα οἱ πατέρες Καπουκῖνοι καλούμενοι ἑαυτοῖς οἰκίαν ᾠκοδόμησαν. τὴν μὲν κλίνην ἡ γῆ ὀλίγοις κάρφεσιν ἐπιστρωθεῖσα· τὴν δὲ

τροφὴν

rij panis frustulis vescebantur situ obducti magnoque labore quæsiti, qui & aqua macerandus & percoquendus erat, vt in cibum esset aptior.

Labente vero die cum transmittendi Hierosolymam essent omni spe depulsi, celebriores academias Italiæ excolendas sibi descripsere: ipse vero Ignatius Petro Fabro, & Iacobo Layne comitatus, Deo vocante, Romam adiuit ad iacienda illius Societatis fundamenta, quæ esset Dei gloriam per orbem terrarum adeo propagatura. Qua in re illud euenit mirabile, vt cùm superioribus annis compluribus ante CIↃ.IↃ.XXXVII. & sequentibus vsque ad LXX. naues peregrinorum in orientem soluere consuessent, eo duntaxat anno clauderetur mare: diceres Deum Ignatio, socijsque viam ad maiora præstruere, quam ipsi vel cogitare, vel mente complecti potuissent.

## CAPVT IX.

*Societas* IESV *fundatur, atque à S. Sede Apostolica approbatur: Ignatius primus ei Generalis præponitur.*

HOnore sacerdotij decoratus Ignatius annum plenum & integrum collegit animum, & ad primum illud & augustissimum sacrificium idoneè comparauit.

Interea



τροφὴν τὰ ψωμία τοῦ ἄρτου ἤδη εὐρωτιῶντος καὶ ὑπὸ προσαιτούντων ἐπιπόνως ἐζητημένου παρεῖχε, τοῦτον ἔδει ἐν ὕδατι μαλακιώσεσθαι καὶ ἀφεψεῖσθαι, τοῦ μᾶλλον εἰς σῖτον ἱκανοῦσθαι.

Τοῦ δὲ χρόνου προβαίνοντος, πάσης τῆς ἐλπίδος τοῦ εἰς τὰ Ἱεροσόλυμα διαπεραῖν στερηθέντες, εἰς τὰς ἐπιφανεστέρας τῆς Ἰταλίας ἀκαδημίας φοιτῆσαι προείλοντο· ὁ δ᾽ Ἰγνάτιος τοῦ Πέτρου Φάβρου καὶ τοῦ Ἰακώβου Λαΰνου συνακολουθέντων, τῇ τοῦ θεοῦ κλήσει εἰς τὴν Ῥώμην ἐπορεύθη, τοῦ τὴν ἀρχὴν ὑποθέσθαι ἐκείνης τῆς ἑταιρείας, τῆς τὴν τοῦ θεοῦ δόξαν δι᾽ οἰκουμένης οὕτω σφόδρα ἐκτείνειν μελλούσης. τοῦτο δὲ θαυμαστὸν συνέβη, ὅτι τῶν ναῶν τῶν ἀποδήμων πλείοσι παρελθοῦσιν ἔτεσι περὶ τοῦ αφλζ. καὶ ἑπομένοις μέχρι τοῦ ο. εἰς τὴν ἀνατολὴν ἀπαίρειν εἰωθυιῶν, μόνον ἐκείνῳ ἐνιαυτῷ ἡ θάλασσα ἐκλείσθη. εἴποι τις, ὅτι ὁ θεὸς τῷ Ἰγνατίῳ καὶ τοῖς ἑταίροις ὁδὸν πρὸς μείζω ἔργα προκατεσκεύασεν, ἢ αὐτοὶ λογίζεσθαι, ἢ τῷ νῷ περιβάλλειν ἠδυνήθησαν.

## Κεφ. θ'.

Η ἑταιρεία τοῦ Ἰησοῦ καθίσταται, καὶ ὑπὸ τῆς Ἀποστολικῆς καθέδρας κυροῦται. ὁ Ἰγνάτιος πρῶτος γενικὸς προστάτης αὐτῇ προΐσταται.

Τῇ τῆς ἱερατείας τιμῇ κοσμηθεὶς ὁ Ἰγνάτιος, ὅλον ἔτος τὸν νοῦν συνέλεξε, καὶ πρὸς τὴν πρώτην ἐκείνην καὶ σεβασμιωτάτην λειτουργίαν ἑαυτὸν ἱκανῶς παρεσκεύασεν.

ἐν τῷ

Interea B. Virgini toto pectore supplicauit, vt quæ esset singularis Dei hominumque conciliatrix, aditum sibi monstraret ad Filium, vt à Filio agnitus eundem ipse agnosceret, inueniret, diligeret, ei summam obseruantiam obedientiamque præstaret. Obsecrauit eam præterea, vt ad susceptionem tanti negotij facilem viam patefaceret, remoueretque si quod impedimentum occurreret. His desiderijs inflammatus, itinere pedestri, victu de more precario, duobus quos diximus, comitatus, Romam rectà contendit. Interea quotidie sacrum Domini corpus ab altero suscipere piè & religiosè non destitit: vnde mira diuinitus lumina & incredibiles animo voluptates hauriebat. Ecce autem cùm vrbi Romæ iam immineret, ac relictis comitibus templum quoddam auium desertumque ingressus esset, effuso in orationem animo à sensibusque alienato, in magna luce per speciem ei se Deus Pater ostendit, IESV Christo Filio crucem humeris ferenti Ignatium sociosque commendans: quos cùm ille in fidem ac tutelam recepisset, vt erat cruce onustus, ad Ignatium conuersus hilarique ac sereno vultu compellans, Ego vobis, inquit, Romæ propitius ero. Qua diuinitus obiecta visione mirificè erectus Ignatius rem

omnem



ἐν τῷ μεταξὺ τὴν ἁγίαν θεοτόκον, ἐξαίρετον δήπου τοῦ θεοῦ καὶ τῶν ἀνθρώπων μεσίτριαν οὖσαν, ἐξ ὅλης τῆς καρδίας ἱκέτευσε τὴν πρὸς τὸν υἱὸν εἴσοδον ἐπιδεικνύειν, ὅπως ὑπὸ τοῦ υἱοῦ γνωρισθεὶς τὸν αὐτὸν αὐτὸς ἐπιγνῷ, εὕρῃ, ἀγαπήσῃ, πάσῃ θεραπείᾳ θεραπεύσῃ, καὶ αὐτῷ πειθαρχήσῃ. πρὸς τούτοις, ἐκείνην ἠντιβόλησεν αὐτῷ προοδοποιεῖν, εἰς τὸ τοιούτου πράγματος ῥᾳδίως ἀντιλαβέσθαι, καὶ τὰ ἐμποδὼν ὄντα ἀφαιρῆσαι. ταύταις ἐπιθυμίαις κατεχόμενος, πεζὸς καὶ τὰ πρὸς τὸν βίον ἀναγκαῖα ἐπαιτῶν, τῶν δυοῖν εἰρημένων συνοδοιπορούντων, εἰς τὴν Ῥώμην εὐθὺ πορείαν ἐποιήσατο. ἐν τοσούτῳ δὲ καθ' ἑκάστην, τὴν ἁγίαν εὐχαριστίαν παρ' ἑτέρου εὐσεβῶς καὶ ὁσίως λαβὼν οὐ διέλιπεν, ὅθεν θαυμαστῶν φώτων καὶ ἀπίστων ἡδονῶν τῇ διανοίᾳ ἀπέλαυσεν. Ἰδοὺ δὲ αὐτῷ εἰς τὴν Ῥώμην ἐγγύσαντι, καὶ ἀφεθέντων τῶν συνεμπόρων, εἰς ναόν τινα ἄνοδον καὶ ἔρημον εἰσελθόντι, ἐκχεύσαντί τε εἰς τὴν προσευχὴν τὴν ψυχὴν, καὶ τῶν αἰσθήσεων ἐκστάντι, σὺν μεγάλῳ φωτὶ δι' εἴδους ὁ θεὸς πατὴρ ἐφάνη, τῷ Ἰησοῦ Χριστῷ υἱῷ τὸν σταυρὸν ἐπ' ὤμων βαστάζοντι, τὸν Ἰγνάτιον καὶ τοὺς ἑταίρους συστάς. οὓς αὐτὸς εἰς τὴν πίστιν καὶ ἐπιτροπὴν αὐτοῦ δεξάμενος, καθὼς τῷ σταυρῷ ἔμφορτος ἦν, πρὸς τὸν Ἰγνάτιον ἐπεστράφη, καὶ εὐπροσώπως καὶ γαληνῶς προσφωνῶν, Ἐγὼ ὑμῖν, φησιν, ἐν τῇ Ῥώμῃ ἵλεως ἔσομαι. Καὶ ταύτῃ θεόθεν γινομένῃ ὁράσει, ὁ Ἰγνάτιος

θαυμα-

omnem ſuis patefecit ad corroborandos eorum animos, ne quando rebus aduerſis frangerentur, vel periculorum metu deterriti langueſcerent. Ea luce perfuſus ſic animo ſanctiſſimum IESV nomen impreſſit, tantoque crucis amore ſuccenſus eſt, vt ob eam cauſſam, Ignatij ſociorumque rogatu, Sedes Apoſtolica huic ordini Societatis IESV nomen imponeret. Sic Paulus III. Pont Max. excuſſis ijs calumnijs quibus appetebatur Ignatius, appellandam cenſuit. Cum enim Romæ quidam hæreticus praua dogmata vulgaret, & audientium animis pro concione venenum infunderet, noſtris publicè refellentibus ſæuiſſimam in eos tempeſtatem commouit, quæ tamen ſingulari Dei prouidentia breui ſedata eſt. Niſi quis forte caſu factum exiſtimet, vt ex Hiſpania, Gallia, Venetijs alius alia de cauſſa Romam eodem tempore conuenirent, quotquot Ignatij Iudices ante extiterant, quorumque à tribunalibus non modo abſolutus, ſed præclaro etiam innocentiæ teſtimonio ornatus diſceſſerat. Quo factum, vt veritate cognita præfectus vrbis Romæ, iubente Pontifice, omni eos ſuſpicione liberaret.

Quò maiori conſilio Societas hæc noua ſtabiliretur, idem Pontifex eius inſtituti cognitionem tribus è ſacro purpuratorum

Patrum



θαυμαστῶς ἐπαρθεὶς, ὅλον τὸ πρᾶγμα τοῖς ἑταίροις ἐδήλωσε, τοῦ τ' αὐτῶν νοῦν βεβαιῶσαι, ἵνα μήποτε ἀτυχήμασιν ἀθυμήσωσιν, ἢ τοὺς κινδύνους ἐκφοβηθέντες ἀσθενήσωσι. τούτῳ φωτὶ πεφωτισμένος Ιγνάτιος οὕτω τὸ ἁγιώτατον ὄνομα τοῦ Ιησοῦ ἐν τῇ ψυχῇ αὐτοῦ ἐχάραξε, καὶ τοσαύτῃ φιλοσταυρίᾳ ἐφλογώθη, ὥστε διὰ τοῦτο τῇ τοῦ Ιγνατίου καὶ τῶν ἑταίρων ἱκετείᾳ ἡ Ἀποστολικὴ καθέδρα ταύτῃ τῇ τάξει τὸ τοῦ Ιησοῦ ὄνομα ἔδωκεν. οὕτω Παῦλος ὁ τρίτος Πάπας τὰς διαβολὰς περὶ τὸν Ιγνάτιον γινομένας διωσάμενος, ὀνομάζεσθαι αὐτὴν ἐψηφίσατο. ἐν τῇ γὰρ Ῥώμῃ αἱρετικός τις ἐν ὁμιλίαις κακοδοξίαν διασκεδάζων, καὶ ταῖς τῶν ἀκουστῶν ψυχαῖς τὸν ἰὸν ἐγχέων, κατὰ τῶν ἡμετέρων δημοσίᾳ αὐτὸν διελεγχόντων δεινότατον χειμῶνα κατ' αὐτῶν ἤγειρεν, ὅστις ὅμως τῇ τοῦ θεοῦ ἐξαιρέτῳ προνοίᾳ ἐν βραχεῖ κατηρεμίσθη. εἰ μὴ ἄν τις νομίζοι κατὰ τύχην συμβῆναι, ἐκ τῆς Ισπανίας, Γαλλίας τε καὶ Ενετιῶν (τῶν μὲν διὰ τοῦτο, τῶν δὲ δι' ἐκεῖνο τὸ πρᾶγμα) τῷ αὐτῷ χρόνῳ εἰς τὴν Ῥώμην συνελθεῖν, ὅσοι πρότερον κριταὶ τοῦ Ιγνατίου ὑπῆρξαν, καὶ ἀφ' ὧν βημάτων μὴ μόνον πάσης αἰτίας ἀφεθεὶς, ἀλλὰ καὶ ἐνδόξῳ τῆς καλοκαγαθίας μαρτυρίᾳ κοσμηθεὶς ἀπεχώρησε. Διόπερ ὁ τῆς Ῥώμης πολίαρχος πληροφορηθεὶς, τοῦ Πάπα προστάττοντος, πάσης ὑποψίας αὐτοὺς ἀπήλλαξε.

Τοῦ δ' ἀκριβεστέρᾳ βουλῇ αὐτὴν τὴν νέαν ἑταιρίαν βεβαιωθῆναι, ὁ αὐτὸς Πάπας τὴν τῆς αὐτῆς ἐξέτασιν τρισὶν ἐκ τοῦ ἱεροῦ τῶν ἐμπορφύρων

Patrum collegio delegauit, & illi quidem, ne res conficeretur, pugnauere; sed omnium acerrimè Bartholomæus Guidiccionius Cardinalis, propterea quod è republica Christiana iudicaret, vt à creatione nouarum religionum abstineretur, sed magis veteres labefactatæ, in pristinam disciplinam reuocarentur, vti ab Innocentio III. in concilio Lateranensi, & à Gregorio X. in Lugdunensi lege sancitum fuerat. Nec id cuiquam mirum videri debet: nam & BB. Dominicus & Franciscus, summi illi religionum Patriarchæ, familiarum suarum primordia per easdem difficultatum salebras traduxere. Erant quippe hæc opera diuinitus instituta ad hanc trutinam normamque reuocanda. Sed quia Dei Filius Ignatij caussam iam antè susceperat, seque propitium Romæ futurum spoponderat, ita Cardinalis Guidiccionij voluntatem mutauit, vt ab eius ore vox illa manaret; Nouas quidem religiones probare non possum, hanc tamen improbare non audeo: sic enim animo affectum esse me sentio, vt quò non ducit ratio, eò diuina voluntas inclinet, eoque impellar affectu, quò argumentis adduci antè non poteram. Atque ita factum est, vt idem Cardinalis apud Pontificem Societatis institutum prolixè laudarit, & Ponti-



πατέρων συλλόγου ἐπίστευσε, καὶ οἱ μὲν ἐμάχοντο, ἵνα μὴ τὸ πρᾶγμα διαπράττηται· μάλιστα δὲ πάντων ὁ Βαρθολομαῖος Γυιδικκιόνιος Καρδινάλιος, ἀνθ᾽ ὧν ἐνόμισε τῷ τῶν χριστιανῶν κοινῷ συμφέρειν ἀπέχεσθαι τοῦ νέας τάξεις τῶν ἀσκητῶν καταστῆσαι, καὶ μᾶλλον τὰς παλαιὰς καταλυθείσας εἰς τὸ τῆς παιδείας ἀρχαῖον ἐπαναγαγεῖν, καθὼς ὁ Ιννοκέντιος ὁ τρίτος ἐν τῇ τοῦ Λατερανοῦ, καὶ ὁ Γρηγόριος ὁ δέκατος ἐν τῇ τοῦ Λυγδούνου συνόδῳ ἐνομοθέτησε. καὶ τοῦτο ἂν οὐ θαυμαστὸν τις νομίσειεν, ἐπειδὴ ἅγιοι Δομινικὸς καὶ Φράγκισκος οἱ τῶν ἀσκήσεων μέγιστοι Πατριάρχαι διὰ τῶν αὐτῶν δυσχερειῶν, τὴν τῶν τάξεων αὐτῶν ἀρχὴν ἐποιήσαντο. ἔδει γὰρ ταῦτα τὰ θεόπεμπτα ἔργα πρὸς τοῦτον τὸν κανόνα καὶ γνώμονα διευθύνεσθαι. ὅτι δὲ ὁ τοῦ θεοῦ υἱὸς συνήγορος τοῦ Ιγνατίου πρότερον γενόμενος ὑπέσχετο ἐν τῇ Ῥώμῃ ἱλασθήσεσθαι, τὴν τοῦ Καρδιναλίου Γυϊδικκιονίου γνώμην τοῦτον τὸν τρόπον ἐξήλλαξεν, ὥστε ταύτην τὴν ψῆφον ἔθετο· Νέας μὲν ἀσκήσεις δοκιμάσαι οὐ δύναμαι, ταύτην δὲ ἀποδοκιμάσαι οὐ τολμῶ· οὕτω γὰρ τὴν γνώμην διακείμενος αἰσθάνομαι, ὥστε, ὅπη ὁ λόγος οὐκ ἐπάγει, ἐκεῖσε ἡ τοῦ θεοῦ βουλὴ προσκλίνει, καὶ ἐκεῖσε παρορμῶμαι τῇ διαθέσει, ὅπη τοῖς ἐλέγχοις περὶ τούτου οὐχ οἷός τ᾽ ἦν διωθεῖσθαι. καὶ οὕτω συνέβη τὸν Καρδινάλιον παρὰ τῷ Πάπα τὴν τῆς ἑταιρίας πολιτείαν πολλὰ ἐπαινέσαι, καὶ τὸν

Pontifex eo perlecto hoc quasi oraculum promeret: Digitus Dei est hic: & initia quidem parua, sed sperare se futurum, vt nequaquam exigui fructus inde in ecclesiam redundarent. Et ordinem Societatis confirmauit ille quidem anno CIↃ. IↃ. XL. v. Kal. Octob. quo die anniuersaria S S. Cosmæ & Damiani gratulatio celebratur. verùm tamen maioris experimenti causa certo adhuc personarum numero definiuit. Quam confirmationem anno demũ CIↃ. IↃ. XLIII. renouauit, omni hominum & temporum definitione sublata. Quod ipsum anno CIↃ. IↃ. L. Iulius III. Pauli III. successor, & deinceps reliqui Pontifices ad hoc vsque tempus, cumulatè præstiterunt, nouis quinimò gratijs Societatem auxerunt, & beneficijs ornauerunt, vt eorum diplomata testantur.

Verùm vt ad Ignatium reuertamur, ad eum quem diximus modum confirmata Societate, primi eius commilitones, qui in Italia restiterant, ad creandum Præpositum generalem Romam conuenere, ceteri litteras suæ voluntatis indices miserunt. Atque eo conuentu communibus suffragijs & vna omnium consensione Præpositus generalis Ignatius est designatus. Sed ille qua erat animi demissione, ne Societati regendæ præficeretur, pro sua virili pugnauit,



τὸν Πάπαν τοῦτο ἀναγνόντα οὕτω πως χρηματίσαι· Δάκτυλος θεοῦ ἐστι τοῦτο· καὶ τὴν μὲν ἀρχὴν μικρὰν εἶναι, ἐλπίζειν δὲ, τὴν ἐκκλησίαν ἀπὸ ταύτης τῆς ἑταιρείας οὐ μικρὸν ὠφεληθήσεσθαι. τὴν δὲ τῆς ἑταιρείας τάξιν ὁ Πάπας ἐπεκύρωσε τῷ τῆς θεογονίας ἔτει ᾳ φ΄ μ΄, τῇ κζ΄. τοῦ Σεπτεμβρίου, ὅτε ἡ τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἑορτὴ ἄγεται, ἀλλὰ τοῦ μείζω πεῖραν λαμβάνειν, τὸν ἀριθμὸν τῶν ἑταίρων ἔτι διωρισμένον ἐπέταξε· τελευταῖον δὲ τῷ ἔτει ᾳ φ΄ μ γ΄. ταύτην τὴν ἐπικύρωσιν ἀνανεώσας, πᾶν τῶν τε ἀνθρώπων καὶ χρόνων ὁρισμὸν ἀφεῖλεν. ὅπερ αὐτὸ ἔτει ᾳ φ΄ ν΄. ὁ Ἰούλιος ὁ τρίτος τοῦ Παύλου τοῦ τρίτου ὑπόδοχος, καὶ οἱ ἑξῆς Πάπαι μέχρι τοῦ νῦν ἀφθόνως ἐχαρίσαντο, μᾶλλον δὲ νέαις χάρισι τὴν ἑταιρείαν ηὔξησαν, καὶ δωρεαῖς ἐκόσμησαν, καθὼς τὰ αὐτῶν διπλώματα μαρτυρεῖ.

Ὡς δ᾽ ἐπανελθεῖν πρὸς τὸν Ἰγνάτιον, τῆς ἑταιρείας, καθάπερ προείρηται, ἐπικυρωθείσης, οἱ μὲν πρῶτοι αὐτοῦ σύμμαχοι οἱ ἐν τῇ Ἰταλίᾳ διαμείναντες, εἰς τὸ προστάτην γενικὸν καθιστάναι ἐν Ῥώμῃ συνῆλθον, οἱ δ᾽ ἄλλοι γράμματα τὸ βούλημα αὐτῶν γνωρίζοντα ἐπέστειλαν. κἀν ταύτῃ τῇ συνόδῳ κοιναῖς ψήφοις ὁμοθυμαδὸν ὁ Ἰγνάτιος γενικὸς προστάτης ᾑρέθη. ἀλλ᾽ αὐτὸς ὑπὸ ταπεινοφροσύνης κατὰ δύναμιν αὐτοῦ, τῷ τὴν προστασίαν τῆς ἑταιρείας πιστευθῆναι ἐναντιωσάμενος,

πάντας

gnauit, vniuersosque suppliciter rogauit, ne suis humeris onus imponeretur, cui succumberet, & quod sine detrimento Societatis ferre non posset. Hac Patres obsecratione permoti iacentem eius animum erexerunt, quatuor dierum orationes ad explorandam Dei voluntatem indixerunt. Demum in suffragia rursus itum est, sed eodem euentu, at nec sic insignis illa sui despicientia superari potuit, nec opinio propriæ vilitatis euelli. Sed cùm recessisset in cœnobium D. Petri, quod in aureo monte positum est, paucis diebus ibi commoratus, totius vitæ maculas aperuit cuidam P. Theophilo è Franciscana familia, cui & ante confirmationem Societatis confiteri peccata consueuerat. Igitur consultus ille respondit, ipsum Spiritui Sancto repugnaturum, si cunctorum suffragationi resisteret. Hac voce victus Ignatius, ceruices iugo subiecit, quod ei Deus imponebat. Itaque eodem anno CIↃ.IↃ.XLI. x. Kal. Mai. vrbis Romæ celebriora templa, & stationes adiuit, Patribus comitatus ac tribus fratribus, è quibus vnus eram, atque in æde B. Pauli rem diuinam fecit. Inter quam tria religionis vota nuncupauit, quartumque adiunxit, quo Romano Pontifici in obeundis quocunque terrarum missionibus fidem obstringe-



ἱκέτευσε, μὴ τοῖς αὐτοῦ ὤμοις ἐπιτίθεσθαι φορτίον, ᾧ τινι ἂν ὑπέπιπτε, καὶ ἄνευ βλάβης τῆς ἑταιρείας ἀνέχειν οὐκ ἠδύνατο. οἱ δὲ πατέρες ταύτῃ ἀντιβολήσει ἐπαχθέντες, αὐτὸν ἀθυμοῦντα ἐθάρσυναν, καὶ εἰς τὸ τὴν τοῦ θεοῦ βουλὴν πυθέσθαι, τεσσάρων ἡμερῶν προσευχὰς ἐπήγγειλαν. τέλος δὲ τὴν ψῆφον πάλιν θέμενοι, παραπλήσιον πεπόνθασιν, ἀλλ᾽ οὐδὲ οὕτως ἡ ἐκείνη αὐτοῦ ἐπίσημος καταφρόνησις ἐλαττοῦσθαι, οὐδὲ ἡ ταπεινοφροσύνη ἀφαιρεῖσθαι ἠδύνατο. ἀποχωρήσας δὲ εἰς κοινόβιον τοῦ ἁγίου Πέτρου τὸ ἐν τῷ ὄρει χρυσῷ καλουμένῳ κείμενον, καὶ ὀλίγας ἡμέρας ἐκεῖ διαγαγών, τὰς ὅλου τοῦ βίου ἁμαρτίας ἐξωμολόγησε πατρὶ Θεοφίλῳ τινὶ, τῆς τοῦ ἁγίου Φραγκίσκου τάξεως, ᾧ τινι καὶ πρὸ τοῦ κυρωθῆναι τὴν ἑταιρίαν, τὰ ἁμαρτήματα ἐξομολογῆσαι εἰώθεν. οὗτος οὖν παρ᾽ αὐτοῦ σύμβουλος γενόμενος ἀπεκρίθη, ὅτι Ἰγνάτιος τῷ ἁγίῳ πνεύματι ἀντιπεσεῖται, εἰ πάντων ψήφῳ ἠναντιᾶτο· ταύτῃ τῇ φωνῇ νικηθεὶς ὁ Ἰγνάτιος τὸν αὐχένα τῷ ὑπὸ τοῦ θεοῦ ἐπιτεθέντι ζυγῷ ὑπέβαλεν. οὐκοῦν τῷ αὐτῷ ἔτει ᾳφμα΄. τῇ κβ΄. τοῦ Ἀπριλλίου εἰς τοὺς τῆς Ῥώμης ἐπισημοτέρους ναοὺς, καὶ τὰς στάσεις ἐβάδιζε, συνακολουθησάντων τῶν πατέρων καὶ τριῶν ἀδελφῶν, ὧν εἷς ἐγὼ ἐγενόμην, καὶ ἐν τῷ τοῦ ἁγίου Παύλου ἱερῷ ἐλειτούργησεν. καὶ παρὰ τῇ λειτουργίᾳ τρεῖς τῆς ἀσκητικῆς τάξεως εὐχὰς ποιησάμενος τὴν τετάρτην προσέθετο, ἣν τῷ Ῥωμαίῳ Πάπᾳ ὑπὲρ τῶν πανταχῇ γῆς

stringeret. Ceteri deinde sacrum Domini corpus ab eius manu sumpserunt, cùm se ijsdem votis ad pedes eius obligauissent, omnium animis tanta cælestium voluptatum irrigatione perfusis, vt lacrymantibus oculis summas Deo gratias agerent, qui ad felicem exitum perduxisset, confirmassetque, quod operatus fuerat in ipsis. Ex eo tempore stetit ordo Societatis ab Apostolica Sede confirmatus, atque ad maiorem Dei gloriam vtilitatemque ecclesiæ, tum religiosos votis illigatos, tum caput à quo gubernaretur, habuit.

## CAPVT X.

*Generalis electus, mox vt se gesserit; Societas propagatur. Pia aliquot fundationes agente Ignatio eriguntur stabiliunturque.*

FActus Generalis ordinis Magister Ignatius tale sui muneris duxit exordium: postridie surrexit bene manè de lecto, & à somno reliquos excitauit. Nam assiduam suorum curam gerere suarum partium existimabat, efficiendúq; vt suum munus quisque præstaret. Atque vt quò sublimiorem dignitatis gradum adscenderat, eò magis etiam sese demitteret, culinam ingressus in eius officijs multis se diebus





παχῇ γῆς ἀποστέλλεσθαι πίστιν ἔδοσαν. εἶτα οἱ ἄλλοι ἀπὸ τῆς αὐτοῦ χειρὸς τὸ τοῦ κυρίου σῶμα ἔλαβον, τὰς αὐτὰς εὐχὰς πρὸς τοὺς πόδας αὐτοῦ ποιησάμενοι, πάντων ψυχῶν τοσαύτῃ ἐμβροχῇ τῶν ἐπουρανίων ἡδονῶν διακεχυμένων, ὥστε ὀφθαλμοῖς δακρύουσι τῷ θεῷ τῷ εὐτυχῶς περάναντι καὶ δυναμώσαντι, ἃ κατειργάσατο ἐν αὐτοῖς, μάλιστα εὐχαριστοῦν. ἀπ' ἐκείνου τοῦ χρόνου ἡ τῆς ἑταιρείας τάξις ἔστη ὑπὸ καθέδρας Ἀποστολικῆς κυρωθεῖσα, καὶ πρὸς μείζω τοῦ θεοῦ δόξαν καὶ τῆς ἐκκλησίας ὠφέλειαν, καὶ τοὺς ἀσκητικοὺς ταῖς εὐχαῖς δεδεμένους, καὶ κεφαλὴν, ὑφ' ἧς ἂν ἐκυβερνᾶτο, εἶχε.

## Κεφ. ι.

Ἀρχιπροστάτης αἱρεθεὶς, ποῖός τις εὐθέως ἐγένετο· ἡ ἑταιρεία αὐξάνεται. εὐσεβῆ τινα ἔργα, τοῦ Ἰγνατίου ἐπιμελουμένου, καθίσταται καὶ βεβαιοῦται.

ΑΡχιπροστάτης δὲ τῆς τάξεως ὁ Ἰγνάτιος κατασταθεὶς τοιαύτην ἀρχὴν τοῦ ἔργου αὐτοῦ ἐποιήσατο· τῇ ὑστεραίᾳ, πρωϊαίτερα ἐκ τῆς κλίνης ἀναστὰς, καὶ τοῦ ὕπνου τοὺς ἄλλους ἐξήγειρε. τῶν γὰρ αὐτοῦ συνεχῶς ἐπιμελεῖσθαι, καὶ διαπράττεσθαι, ὅπως τὰ δέοντα ἕκαστος ποιήσῃ, πρὸς ἑαυτοῦ εἶναι ἐνόμιζεν. ἵνα δὲ, ὅσῳ ὑψηλότερον τῆς τιμῆς βαθμὸν ἀνέβη, τοσούτῳ μᾶλλον ἑαυτὸν ταπεινώσῃ, εἰς τὸ μαγειρεῖον εἰσελθὼν, ἐν ταῖς αὐτοῦ ὑπηρεσίαις πολλὰς

exercuit, tantaque alacritate ad alia vilissima quæque ministeria domus accessit, vt ea tractare tanquam nouitius ad progrediendum in virtute longiùs, ad coërcendas sensuum cupiditates, abdicandamque voluntatem videretur. Doctrinam deinde Christianam tradere aggressus, eiusque rudimentis in æde nostra puerorum animos atque ignaræ plebis imbuere, sex & quadraginta ipsos dies in expositione mandatorum, symboli, ceterorumque fidei nostræ mysteriorum continenter posuit. Qui licet, vt homo peregrinus, Italicè loqueretur, orationemque proferret ad audientes impropriam & incultam, verborum tamē grauitas magnos in eorum animis motus excitabat. Cumque docendi finem fecisset, multi repentè sacerdotem adibant acri peccatorum dolore perculsi, atque ad eius pedes genibus nixi tantos ciebant gemitus, vt inter confessionem nimia vi lacrymarum crebrius insistere, & vocem interrumpere cogerentur. Testis huiusce rei sum locuples, & quia tum è pueris nondū excesseram, quæ docuisset ipse pridie, ego postridie recolere solebam. Huc accedebat labor nouellæ Societatis radices altiùs figendi totoque orbe propagandi. Eandē quotidianis ipse orationibus alebat, prudentia gubernabat, charitate accendebat, animi



ἡμέρας ἠσκήθη, καὶ τοσαύτῃ προθυμίᾳ πάσαις ταῖς ἄλλαις εὐτελεστάταις ὑπουργίαις τῆς οἰκίας ἐνεχείρησεν, ὥστε, ὡς νεώτερος, τοῦ ἐπ' ἀρετῇ μᾶλλον προκόπτειν, τάς τε τῶν αἰσθήσεων ἐπιθυμίας κατέχειν, καὶ τῇ ἰδίᾳ βουλήσει ἀποτάττεσθαι, αὐταῖς προσφέρεσθαι ἐδόκει. εἶτα τὴν τῶν χριστιανῶν κατήχησιν διδάσκειν, καὶ αὐτῆς τὴν εἰσαγωγὴν ἐν τῷ ἱερῷ ἡμῶν τοὺς παῖδας καὶ τὸ ἀμαθὲς πλῆθος παιδεύειν ἐπιχειρήσας, τῇ ἐξηγήσει τῶν ἐντολῶν, τοῦ συμβόλου, καὶ τῶν ἄλλων μυστηρίων τῆς πίστεως ἡμῶν τεσσαράκοντα ἓξ ἡμέρας διηνεκῶς ἐνδιέτριψεν. ὃς εἰ καὶ ὡς ξένος, Ἰταλικῶς ἐλάλει, καὶ λόγον ἄκυρον καὶ ἄκομψον πρὸς τοὺς ἀκροατὰς ἐποιεῖτο, ὅμως ἡ τῶν ῥημάτων δεινότης μεγάλα πάθη ἐν ταῖς αὐτῶν ψυχαῖς ἐξήγειρεν. αὐτοῦ δὲ τὸν λόγον παύσαντος, πολλοὶ ἐξαίφνης παρεγίνοντο τῷ ἱερεῖ, τῶν ἁμαρτιῶν λύπῃ πικρᾷ ἐκπληχθέντες, καὶ ἐπὶ τοὺς πόδας αὐτοῦ γονυπετοῦντες, τηλικοῦτον ἐστέναζον, ὥστε ἐν τῷ ἐξομολογεῖν, τῷ ἄγαν πλήθει τῶν δακρύων συχνάκις ἐπισχεῖν, καὶ τὴν φωνὴν ἀπορρῆξαι ἀναγκασθῆναι. ἀξιοπίστως τούτῳ μαρτυρῶ, ὅτι ἐκ παίδων τότε οὔπω ἐξελθών, τὰ ὑπ' αὐτοῦ τῇ προτεραίᾳ διδαχθέντα, ἐγὼ τῇ ὑστεραίᾳ ἀναλαβεῖν εἴωθα. ἐπεγίνετο τούτοις ὁ πόνος τοῦ τὴν νέαν ἑταιρείαν βαθύτερον ῥιζοβολῆσαι, καὶ ἐν ὅλῃ τῇ οἰκουμένῃ αὐξῆσαι. τὴν αὐτὴν ταῖς καθ' ἡμέραν προσευχαῖς αὐτὸς ἔτρεφε, τῇ φρονήσει διῴκει, τῇ ἀγάπῃ ἀνῆπτε, τῇ μεν-

animi magnitudine defendebat, denique ad virtutem acuebat eximiæ probitatis exemplo. Ad hæc Deus, qui eum nec opinantem ad tale opus delegerat, tantam ei gratiarum copiam largitus eſt, vt quidquid ſuſciperet, abſolutum illico perfectumque iri, certum atque exploratum videretur. Tantum quippe valuit eius virtus & induſtria, vt ab Apoſtolica Sede confirmata Societas (quod eſt omnino mirabile) minimis initijs ita creuerit, vt vnius anni ſpatio cancellis ſuis egreſſa, ſeſe in Galliam, Italiam, Germaniam, Hiſpaniam, Luſitaniam, Hiberniam, Indiamque occidentalem effunderet.

Præfuit B. Pater Societati annos quatuordecim, menſes tres, dies nouem à decimo Kal. Mai. CIↃ. IↃ. XLI. vſque ad prid. Kal. Auguſt. anni CIↃ. IↃ. LVI. quo die diſceſſit è vita. Hoc interim ſpatio nunquam Roma niſi bis abfuit, ſemel cùm in regnũ Campanum profectus, iterum cùm Oruietam, vt ad Paulum III. Pont. Max. de grauiſſimis negotijs referret, quæ duobus hiſce temporibus caſus obtulerat. Interim in hac cura verſatus eſt, vt ſtabiliret & gubernaret ipſemet Romanam domum, quæ eſſet mater ceterarum, vnde noſtros varias in partes mitteret concionandi gratia; ijs præceptis inſtructos quorum normam



τῇ μεγαλοψυχίᾳ ὑπερήσπιζε, τὸ τελευταῖον τῷ τῆς λίαν καλοκἀγαθίας παραδείγματι ἐπὶ τὴν ἀρετὴν παρώξυνε. προσέτι ὁ θεός, ὁ αὐτὸν μηδαμῶς τοῦτο νομίσαντα εἰς τοῦτο ἔργον ἐκλεξάμενος, τοσαύτην χάριν αὐτῷ ἐδωρήσατο, ὡς πρόδηλον εἶναι ἐδόκει, ὅτι πᾶν αὐτοῦ ἐγχείρημα εὐθέως περανθήσεται, καὶ τελειωθήσεται. τοσοῦτον γὰρ ἡ ἀρετὴ καὶ σπουδὴ αὐτοῦ ἴσχυσεν, ὥστε ἡ ὑπὸ τῆς Ἀποστολικῆς καθέδρας κυρωθεῖσα ἑταιρεία, καὶ (ὅπερ παντελῶς θαυμαστὸν) ἐκ τῆς ἐλαχίστης ἀρχῆς οὕτως αὐξηθεῖσα, ἐντὸς ἑνὸς ἔτους, τῶν αὐτῆς κιγκλίδων ἐξῆλθε, καὶ εἰς τὴν Γαλλίαν, Ἰταλίαν, Γερμανίαν, Ἱσπανίαν, Λυσιτανίαν, Ἰβερνίαν, καὶ Ἰνδικὴν δυσμικὴν ἐπλατύνθη.

Τῆς δὲ ἑταιρείας ὁ μακάριος πατὴρ ἐπεστάτησεν ἔτη τεσσαρακαίδεκα, μῆνας τρεῖς, ἡμέρας ἐννέα ἀπὸ τῆς κβ΄. τοῦ Ἀπριλλίου τοῦ ἔτους ᾳ φ΄ μα΄ μέχρι τῆς λα΄ τοῦ Ἰουλίου τοῦ ἔτους ᾳ φ΄ ν ϛ΄, ἐν ᾗ ἡμέρᾳ ἐτελεύτησεν. ἐν τούτῳ τῷ χρόνῳ μηδέποτε τῆς Ῥώμης ἀπεῖχεν, εἰ μὴ δίς, ἅπαξ μὲν εἰς τὴν τῆς Καμπανίας βασιλείαν, τὸ δὲ δεύτερον εἰς τὴν Ὀρβίνιταν πορευθείς, τοῦ τῷ Πάπᾳ Παύλῳ τῷ τρίτῳ περὶ μεγίστων πραγμάτων ἀνακοινοῦσθαι, ἅτινα τοῖσδε δυοῖν χρόνοις συμβέβηκεν. ἐν τοσούτῳ σπουδὴν ἐποιήσατο, ὅπως αὐτὸς βεβαιώσῃ καὶ διοικήσῃ τὴν οἰκίαν τὴν ἐν τῇ Ῥώμῃ, ἣ ἂν γένοιτο μήτηρ τῶν ἄλλων, ὅθεν τοὺς ἡμῶν εἰς διαφόρους χώρας τοῦ εὐαγγελίζεσθαι ἤμελλεν ἀποστέλλειν, ταύταις ταῖς ἐντολαῖς

mam ac regulam ſecuti, dignè Chriſti miniſterio fungerentur. Sed quia Societatis integritas, famaque Dei beneficio manabat in dies latiùs, quæ mirificè valebat ad conciliationem animorum, ob idque multi collegia expetebant, vt eius doctrinæ laboriſque fructum perciperent, hoc etiam agebat, vt hanc prouinciam, quibus in locis magis neceſſarium videbatur, idoneis inprimis hominibus probatiſſimisque mandaret, & ipſa Societas tanquam nouella quædam planta, quam Deus in eccleſia pro ſua bonitate volebat longè lateque propagari, radicibus firmata conualeſceret. Denique quia B. Patrem eiuſque familiam dæmon iam inde ab initio ferre non poterat, falſiſque criminationibus & calumnijs eam identidem onerabat, acriter tum maximè à ſe, ſuiſque depellendas ratus, veritatem mendacio opprimi minimè patiebatur.

Verùm, quia domeſticis oneribus tantis ac tam grauibus contentus eſſe non poterat, quibus vel robuſtiſſimus quiſque ſuccubuiſſet, ad externos etiam ſe transferebat, & eos ingenti charitate ad ſalutem vocabat. Laborauit enim, vt inueterata quædam Romæ vitia tollerentur, eaque ſtatuerentur, quæ eſſent cum hominum ſalute coniuncta; in quibus illud fuit, vt





διδαχθέντας, ὧν κανόνι ἑπόμενοι τὴν τοῦ Χριστοῦ διακονίαν ἀξίως πληροφορήσειαν. ἐπειδὴ δὲ ἡ τῆς ἑταιρείας εἰλικρίνεια καὶ εὐδοξία σφόδρα τοὺς ἀνθρώπους ψυχαγωγεῖν δυναμένη, τῇ τοῦ θεοῦ χάριτι καθ᾽ ἑκάστην εὐρύτερον περιήχετο, καὶ διὰ τοῦτο πολλοὶ συλλόγους ἐπεπόθουν, τοῦ τῆς αὐτοῦ διδαχῆς καὶ πόνου ἀπολαῦσαι, ἐφρόντισεν, ὅπως τοῦτο τὸ ἔργον ἐν ἐκείνοις τόποις, ὅπου ἀναγκαιότερον εἶναι ἐδόκει, μάλα ἀξιοπίστοις καὶ εὐδοκίμοις ἀνδράσιν ἐγχειρισθῇ, καὶ αὐτὴ ἡ ἑταιρεία, ὡς νέον τι φύτευμα, ὅπερ ὁ θεὸς κατὰ τὴν αὐτοῦ ἀγαθότητα ἐν τῇ ἐκκλησίᾳ πανταχοῦ διαχυθῆναι ἐβούλετο, βεβαίως ῥιζοφυήσασα ἐνδυναμωθῇ. εἰς τέλος, ὅτι τὸν μακάριον πατέρα καὶ τὴν οἰκίαν αὐτοῦ ὁ κακοδαίμων ἀπ᾽ ἀρχῆς ἤδη ἀνέχεσθαι οὐ δυνάμενος συνεχῶς ἐσυκοφάντει, τότε μάλιστα πασῶν διαβολῶν ἑαυτὸν, καὶ τοὺς ἑαυτοῦ δεινῶς ἀπαλλάττεσθαι ὁ Ἰγνάτιος προαιρούμενος, τὴν ἀλήθειαν τῷ ψεύδει καταπιέζεσθαι οὐδαμῶς εἴασεν.

Ἀλλὰ μὲν τοῖς ἐν τῷ οἴκῳ τηλικούτοις καὶ οὕτω βαρέσι φορτίοις, ὧν ἂν καὶ πᾶς ἰσχυρότατος ἡττηθῇ, ἀγαπᾶν οὐχ οἷός τε γινόμενος, πρὸς τοὺς ἔξω προέβη, ὑπερμεγέθει ἀγάπῃ εἰς τὴν σωτηρίαν αὐτοὺς καλέσας. ἐπεμελεῖτο γάρ, ὅπως κακίαι μέν τινες ἐγχρονίσασαι ἐν Ῥώμῃ ἀφαιρεθῶσι, ταῦτα δὲ, οἷσπερ ἡ τῶν ἀνθρώπων σωτηρία πρόσεστι, καθιστασθῇ τούτων ἐκεῖνο ὑπῆρξεν, ὥστε ὁ νόμος

lex Innocentij III. iam intermortua renouaretur, qua cauetur, ne medicus possit ægroto operam studiumque nauare, priusquam animus sit sacra delictorum confessione purgatus. Deinde vt locus in vrbe decerneretur Iudæis & infidelibus alendis, qui vellent lucem veritatis aspicere. Ab eo profecta sodalitas illa, quæ in cœnobio B. Marthæ constituta, à Gratia Mariæ nomen accepit; in quam vsque eo recipe-rentur profligatæ mulieres siue matrimonio iunctæ, siue liberæ, quoad viris reconciliarentur, vel ad meliorem frugem reuocarentur. Quæ res pro ardenti sua charitate adeo ei cordi fuit, vt cum è cœno peccatorum emersissent, eas nonnunquam luce palam ad B. Marthæ comitaretur; nec ætas, nec quâ valebat auctoritas, nec dignitatis gradus, in quo Deus eum collocarat, ab hoc officio retardaret. Cùm verò quidam obijcerent in his mulierculis fere operam perdi, quippe cùm inueterata peccandi libidine, facilè ad ingenium redire, inque eadem vitia relabi soleant: Minimè, inquit, immò si omnibus vitæ meæ curis & vigilijs id efficere possum, vt harum aliqua noctem vnam peccatis vacuam ducat, bene feliciterque susceptas arbitrabor, vt vel exiguo illo tempore diuina maiestas non offendatur.





τοῦ Ἰννοκεντίου τοῦ τρίτου, ἤδη ἀπιθισθεὶς ἀνεκαινίζετο, ᾧ ἐκωλύθη τὸν ἰατρὸν ἐπιχειρεῖν τῇ θεραπείᾳ τοῦ νοσοῦντος, πρὸ τοῦ τὴν ψυχὴν τῇ ἱερᾷ ἐξομολογήσει τῶν ἁμαρτημάτων καθαρισθῆναι. εἶτα. ὥστε ἐν τῇ πόλει, εἰς τὸ τρέφειν τοὺς Ἰουδαίους καὶ ἀπίστους, τοὺς τῇ ἀληθείᾳ καταφωτίζεσθαι βουλομένους, τόπος τις προσενέμετο. πρὸς τούτοις αὐτὸς ἀρχηγὸς ἐγένετο τῆς συλλογῆς, ἣ ἐν τῷ τῆς ἁγίας Μάρθας κοινοβίῳ καταστασθεῖσα ἀπὸ τῆς κεχαριτωμένης Μαρίας ὠνομάσθη, εἰς ἣν αἱ ἀσελγεῖς γυναῖκες, εἴτε συζυγεῖς, εἴτε ἀζυγεῖς ἀναλαμβάνονται, ἕως ἂν τοῖς ἀνδράσι καταλλαχθῶσιν, ἢ χρησταὶ αὖθις γένωνται. τούτου δὴ ἐκ τῆς ἐμπύρου ἀγάπης οὕτως αὐτῷ ἐμέλησεν, ὡς τὰς ἐκ τοῦ βορβόρου τῶν ἁμαρτιῶν ἀνανησάσας, πολλῆς ἔτι ἡμέρας οὔσης, φανερῶς ποτε εἰς τῆς μακαρίας Μάρθας προὔπεμπε, καὶ ταύτην τὴν ὑπηρεσίαν οὐ τὸ γῆρας, οὐδὲ ἡ αὐθεντία ἣν εἶχεν, οὐδ᾽ ὁ τῆς ἀξίας βαθμὸς, εἰς ὃν ὑπὸ τοῦ θεοῦ ἀνεβιβάσθη, ἐνεπόδιζεν. ἐνίων δὲ ὑποφερόντων περὶ τοιαῦτα γύναια ἐπὶ πολὺ ματαιοπονίαν γίνεσθαι, ἐπειδὴ τῇ παλαιωθείσῃ ἐπιθυμίᾳ τοῦ ἁμαρτεῖν, εἰς φύσιν ῥᾳδίως ἐπανελθεῖν, καὶ εἰς ταὐτὰ ἁμαρτήματα μεταπεσεῖν εἰώθασι· μηδαμῶς, (ἔφη) μᾶλλον δὲ, εἰ πάσαις τῆς ζωῆς μου φροντίσι καὶ ἀγρυπνίαις διαπράττεσθαι οἷός τ᾽ εἰμι, ὅπως τις αὐτῶν μίαν νύκτα ἀναμαρτήτως διάγῃ, ἐμὲ ἀγαθουργῆσαι νομίσω, ὥστε χρόνῳ γε μικρῷ ἐκείνῳ τὴν τοῦ θεοῦ μεγαλειότητα μὴ λυπεῖσθαι.

Nec minori cura pupillorum orbitati ſubuenit, eius enim opera aſſignatæ ſunt habitationes duæ pueris ac puellis, quæ amiſſis parentibus, omnibus pariter vitæ commodis eſſent deſtitutæ. Denique maiorem in modum laborauit, vt conſtitueretur cœnobium S. Catharinæ, vulgò de funarijs, aſylum commune virginum; quæ vel egeſtate, vel ſua negligentia, vel perfidia matrum, pudicitiæ diſcrimen adirent. Atque vt eximius hic in proximos amor, & in rebus pro Deo agendis animi conſtantia magis eluceret, Deus in ipſum ſæuas ſubinde tempeſtates indidem oriri patiebatur, quæ tandem ad veritatem tanquam ad ſcopulum alliſæ frangebantur omnes; vnde magis eius acta confirmabantur, & ſanctitas euadebat illuſtrior. Fidem ſuperare videbatur, vt vnus ſuſtineret tot onerum grauitatem, quibus beatus hic Pater premebatur imbecilla præſertim ac tenui valetudine. Nam præter eas, de quibus diximus, occupationes, quæ multos etiam bene ſanos defatigaſſent, accipiebat quotidie litteras ex omnibus orbis pænè partibus, à principibus omniſque generis optimatibus, quibus alius preces, alius conſilia, alius eius induſtriam ſuis in negotijs expoſcebat; multi item pro beneficijs ex labore filiorum acceptis, gratulabantur;



Ἀλλ' οὐχ ἧττω σπουδὴν περὶ τὸ ἐπικουρεῖν τοῖς ὀρφανοῖς ἐποιήσατο· αὐτοῦ γὰρ ἐπιμελουμένου, τοῖς παισὶ καὶ ταῖς παιδίσκαις τῶν γονέων καὶ ἅμα πάντων τοῦ βίου ἀναγκαίων ἀπεστερημένοις δύο οἰκήσεις ἀπενεμήθησαν. τελευταῖον ὡς μάλιστα ἐσπούδασεν, ὑπὲρ τοῦ κατασταθῆναι κοινόβιον τῆς ἁγίας Καθαρίνης ἀπὸ τῶν σχοινοποιῶν ἐπωνομασμένον, κοινὸν ἄσυλον τῶν παρθένων, τῶν ἀπορίᾳ ἢ ἀμελείᾳ αὐτῶν, ἢ τῶν μητέρων ἀπιστίᾳ καταισχυνθῆναι κινδυνευομένων. καίτοι τοῦ ταύτην τὴν πρὸς τοὺς πλησίον προέχουσαν ἀγάπην, καὶ τὴν ἐν τῷ ὑπὲρ τοῦ θεοῦ ἀγωνίζεσθαι μεγαλοφροσύνην μᾶλλον λαμπρύνεσθαι, ὁ θεὸς ταὐτόθεν δεινοὺς χειμῶνας κατ' αὐτοῦ γενέσθαι εἴασεν, οἵτινες εἰς τέλος τῇ ἀληθείᾳ ὥσπερ σκοπέλῳ προσπεσόντες, πάντες ἐρρήγνυντο· ὅθεν αἱ πράξεις αὐτοῦ μᾶλλον ἐβεβαιώθησαν, καὶ ἡ ἁγιότης ἐπιφανεστέρα ἀπέβη. ἄπιστον ἐνομίζετο τόνδε τὸν μακάριον πατέρα μόνον, ἄλλως τε ἀσθενοῦντα, τηλικαῦτα φορτία, οἷς ἐβαρύνετο, ὑπομένειν. πλὴν γὰρ τῶν εἰρημένων ἀσχολιῶν τῶν καὶ τοὺς εὐρωστοῦντας καταπονῆσαι πεφυκυιῶν, καθ' ἑκάστην σχεδὸν ἐκ πάντων τῆς οἰκουμένης μερῶν παρ' ἀρχόντων καὶ μεγιστάνων παντοδαπῶν γράμματα ἔλαβεν, οἷς ὁ μὲν προσευχήν, ὁ δὲ βουλήν, ὁ δ' αὐτοῦ σπουδὴν ἐν τοῖς πράγμασιν αὐτοῦ ᾔτησε· πρὸς ἔτι πολλοὶ αὐτῷ τῶν εὐεργετημάτων, ὧν παρ' ἡμῶν αὐτοῦ ἔτυχον, συνήδεσαν·

tur: mitto cetera, quibus procul dubio fractus debilitatusque succumberet, nisi Dei ope sustentaretur; qui ita leuabat Ignatium, vt quò esset infirmior, inq; onere tam graui quo magis humano esset auxilio destitutus, eò maiorem præferret alacritatem, Deique virtus magis in eius infirmitate splendesceret. Denique B. Pater animi virtute corporis debilitatem subleuabat, huius vitæ labores patienter ferebat, ex vnius diuinæ nutu voluntatis suam pendere desiderans. Sed quamuis ita se res haberet, tanta cupiditate tamen Dei videndi fruendique ardebat, vt nunquam de morte sine lacrymis gaudio fluentibus cogitaret.

## CAPVT XI.

*Ignatij felix exitus, sepultura, oris & corporis conformatio.*

QVamobrem ingrauescente iam ætate, morbis oppressus, turbulentis ecclesiæ temporibus afflictus, Christique intuendi desiderio, gemebundus eum obsecrauit, vt huius vitæ exilio liberatus, eò migrare sibi liceret, vbi liberius laudes eius decantaret, beatoque conspectu frueretur. Nec irritas fuisse preces signis haud dubijs intellexit. Scriptis enim litteris ad Dominam Leono-



σαν· πάνυ τὰ λοιπά, ὑφ' οἷς ἂν ἀναμφισβητήτως κατέπεσε καμφθεὶς καὶ ἐξασθενισθείς, εἰ μὴ αὐτῷ ὁ θεὸς ἐβοήθησεν, ὃς τοῦτον τρόπον τὸν Ἰγνάτιον κουφίσας, ὥστε ὅσῳ ἀσθενέστερος ἦν, καὶ ὑπὸ φορτίῳ τοσούτῳ βαρεῖ τῆς ἀνθρωπίνης ἐπικουρίας ἀπεστερήθη, τοσούτῳ προθυμότερος ἐνέφηνε, καὶ ἡ τοῦ θεοῦ δύναμις ἐν τῇ αὐτοῦ ἀσθενείᾳ μᾶλλον ἔλαμψε. τέλος δὲ ὁ μακάριος πατὴρ ἐν τῇ τῆς ψυχῆς εὐσθενείᾳ τὴν τοῦ σώματος ἀσθένειαν ἀντιλαβέσθαι, τοὺς τῆς ζωῆς ταύτης καμάτους ἐκαρτέρησε, τοῦ μόνου θελήματος τοῦ θεοῦ τὸ αὐτοῦ ἐξαρτᾶσθαι ἐπιποθῶν. εἰ δὲ καὶ ταῦτα οὕτως εἶχεν, ὅμως τοσαύτη ἐπιθυμία τοῦ τὸν θεὸν ἰδεῖν καὶ ἐκείνου ἀπολαῦσαι αὐτῷ ἐνεγίνετο, ὥστε μηδέποτε περὶ τῆς τελευτῆς ἄνευ δακρύων ὑπὸ χαρᾶς ἀποῤῥεόντων, ἐνεθυμεῖτο.

## Κεφ. ια.

Η τοῦ Ἰγνατίου μακαρία τελευτὴ, ταφὴ, τοῦ προσώπου καὶ τοῦ σώματος κατάστασις.

ΠΡοβεβηκὼς δὲ ὁ Ἰγνάτιος τῇ ἡλικίᾳ, ταῖς τε νόσοις ἐκπεπονημένος, καὶ τοῖς ταραχώδεσι τῆς ἐκκλησίας χρόνοις ἀλγήσας, ὑπὸ τῆς ἐπιθυμίας τοῦ τὸν Χριστὸν ἰδεῖν σὺν στεναγμῷ αὐτὸν ἱκέτευσε, ταύτης τῆς φυγαδείας ἀπολυθέντα ἐκεῖσε μεταβῆναι, ὅπου ἂν ἐλευθερώτερον τοὺς αὐτοῦ αἴνους ᾄσειε, καὶ μακαρίας ὁράσεως ἀπολαύσειε. καὶ τὰς εὐχὰς οὐ κενὰς γενέσθαι ἐξ ἱκανῶν τεκμηρίων κατέμαθε. γράψας γὰρ ἐπιστολὴν πρὸς τὴν δέσποιναν Λεονώραν

Leonoram Mascarenam, quæ Patris ipsius erat studiosissima & Catholici Hispaniarum Regis Philippi II. pueritiæ præfuerat, ei ad extremum valedixit, addiditque (vt ipsa mihi narrauit) has esse litterarum suarum postremas, seque in cælo maiori imposterum studio salutem eius curaturum. Tametsi igitur grauiori morbo non vrgeretur, qui domesticos aliqua mortis imminentis suspicione percelleret, sed tantummodo solita debilitate langueret, cum tamen extremum sibi diem aduentare præsentiret, animum confessione expiauit, & cælestibus epulis refecit; quod ei solemne erat, quoties rem ipse diuinam facere non posset; deinde tertiò Kal. Aug. sub vesperam P. Ioannem Polancum, quo in scribendis litteris vsus fuerat administro, tale nihil opinantem vocauit, eique animo tranquillo obitum sibi instare prædixit; quamobrem suo nomine summum Pontificem maturè adiret, ab eoque post religiosa pedum oscula, faustam sibi precationem peccatorumque indulgentiam impetraret, quò lætior & securior migraret è corpore. Eam verò summus Pontifex admodum libenter magnaque significatione tum amoris, tum doloris impertiuit.

Aduocati deinde medici, cum nullum ab eo morbo periculum esse dicerent, siluit



Λεονώραν Μασκαρήνην τὴν πρὸς αὐτὸν πάνυ εὐνοϊκῶς ἔχουσαν, καὶ τὸν Φίλιππον δεύτερον τῆς Ισπανίας βασιλέα καθολικὸν παιδαγωγοῦσαν, καὶ αὐτῇ τελευταῖον χαίρειν φράσας προσέθη (καθὼς αὐτὴ ἐμοὶ εἶπεν) ὅτι ταῦτα τὰ γράμματα ὕστατα ἐστὶ, καὶ αὐτὸς τὸ λοιπὸν ἐν οὐρανῷ μᾶλλον ἐκείνης ἐπιμέλειαν ποιήσεται. καίπερ δὲ μείζονος νοσήματος αὐτῷ οὐκ ἐπιγινομένου, ὅπερ ἂν τοὺς οἰκείους εἰς τὴν τοῦ ἐπικειμένου θανάτου φόβον καθιστᾶτο, καὶ τοῦ Ιγνατίου μόνον εἰωθότως ἀσθενοῦντος, ὅμως αὐτὸς τῆς ὑστάτης ἡμέρας αὐτῷ ἐγγυζούσης προαισθανόμενος, τὴν ψυχὴν τῇ ἐξομολογήσει καθαρισθεῖσαν τῇ θείᾳ ἑστιάσει ἀνέλαβε· τοῦτο γὰρ ἔθος εἶχεν, ὁσάκις αὐτὸς λειτουργῆσαι οὐκ ἠδύνατο. μετὰ ταῦτα, τῇ λ΄. τοῦ Ιουλίου περὶ τὴν ἑσπέραν, τὸν πατέρα Ιωάννην Πόλαγκον, τὸν ἐπὶ τῶν ἐπιστολῶν, μηδὲν τοιοῦτο ἐννοοῦντα ἐκάλεσε, κἀκείνῳ τὴν αὐτοῦ τελευτὴν ἐνεστῶσαν εὐθύμως προεῖπε· διόπερ τῷ Πάπᾳ, ἑαυτοῦ ἕνεκα, ἀμελλητὶ προσελθεῖν, καὶ μετὰ τὸ εὐλαβῶς καταφιλῆσαι τοὺς πόδας αὐτοῦ, τὴν Αποστολικὴν εὐλογίαν, καὶ τῶν ἁμαρτιῶν συγγνώμην αὐτῷ αἰτῆσαι, αὐτὸν ἐκέλευσε, τοῦ εὐθυμότερον καὶ ἀσφαλέστερον μεταλλάξαι. ταύτην δὲ ὁ Πάπας, τήν τε φιλίαν καὶ τὴν λύπην ἐπιδείξας, πάνυ ἀσμένως ἐχαρίσατο.

Εκ τούτου, μετακληθέντων τῶν ἰατρῶν, καὶ, ὅτι τοῦτο τὸ νόσημα μηδένα κίνδυνον εἶχεν, εἰπόντων, ὁ Ιγνά-

ſiluit Ignatius: nam qua erat animi demiſſione, dona Dei quibus erat prædıtus, futurique præſcientiam oſtentare nolebat, quare ſuam medicis libertatem relinquere ſtatuit, eorumque ſequi iudicium, quidquid tandem illi præſcriberent. Itaque poſtridie manè, prima ab ortu ſolis hora, prid. Kal. Aug. CIↃ. IↃ. LVI. feria hebdomadæ ſecunda, ſublatis manibus, ſereno vultu, oculis in cælo defixis, voce menteque appellato IESV nomine, animam ſuo reddidit conditori, vir modeſtia planè mirabili, quam ad vitæ finem vſque ſeruauit. Cùm enim extremum obitus ſui diem non ignoraret, animum tamen inducere non potuit, vt, quod in eius erat arbitrio, vicarium ſibi ſufficeret, aut filios ad eos exhortandum vocaret, fauſtâue precatione proſequeretur, aut alio quopiam fungeretur officio Patris, prorſus quaſi omnium infimus eſſet, nec vllam operam ad conſtituendam Societatem contuliſſet.

Ætatis agebat cum diſceſſit, annum ſexageſimum quintum, à conuerſione trigeſimum quintum, à conuerſione trigeſimũ quintum, quos in extrema paupertate, pœnitentia, peregrinationibus, litterarum ſtudijs, vexationibus, vinculis, compedibus, laboribus, ærumniſque traduxit, quæ omnia pro Chriſto ſumma lætitia animique



ὁ Ἰγνάτιος ἐσίγησε· ταπεινοφρῶν γάρ, τὰς τοῦ θεοῦ χάριτας, αἷς ἐκοσμήθη, καὶ τῶν μελλόντων πρόγνωσιν ἐπιδεῖξαι οὐκ ἠθέλησε· τὴν οὖν ἐλευθερίαν τοῖς ἰατροῖς ὑπολιπεῖν, καὶ τῇ γνώμῃ αὐτῶν ἔψαφος προείλετο, ὅτι οὖν ἂν αὐτοὶ ἐπιτάττωσι. τῇ τοίνυν ὑστεραίᾳ, πρωΐ, τῇ πρώτῃ ὥρᾳ μετὰ τὸν ἥλιον ἀνατείλαντα, τῇ λα΄. τοῦ Ἰουλίου, ἔτει αφνς΄. τῇ τῆς ἑβδομάδος β΄. τὰς χεῖρας ἐπάρας, γαληνόν τε βλέψας, καὶ εἰς τὸν οὐρανὸν ἀτενίσας, τῇ τε φωνῇ καὶ τῇ ἐννοίᾳ τὸ τοῦ Ἰησοῦ ὄνομα προσκαλέσας, τὴν ψυχὴν τῷ κτιστῇ αὐτῆς ἀπέδωκεν, ἀνὴρ τῇ ταπεινοφροσύνῃ πάνυ θαυμαστός, ἣν μέχρι τῆς τελευτῆς ἐτήρησεν. καί τοι γὰρ τὴν τοῦ θανάτου αὐτοῦ τελευταίαν ἡμέραν οὐκ ἠγνόει, ὅμως δυσπείστως εἶχεν, εἰς ἑαυτοῦ τάξιν, ὅπερ αὐτῷ ἐξῆν, τοποτηρητὴν καθιστάναι, ἢ τοὺς υἱοὺς εἰς τὸ τῆς παραινέσεως αὐτοῦ ἀκούειν προσκαλεῖν, ἢ αὐτοὺς εὐλογεῖν, ἢ ἄλλο τι τοῦ πατρὸς ἔργον ποιεῖν, παντάπασιν ὥσπερεὶ πάντων ἐλάχιστος ὑπῆρξε, καὶ ἐπὶ τῷ τὴν ἑταιρίαν καταστῆσαι μηδεμίαν σπουδὴν ἐποιήσατο.

Ἐτελεύτησεν ἔτη γεγονὼς ἑξήκοντα πέντε, ἀπὸ δὲ τῆς ἐπιστροφῆς τριακονταπέντε, ἅπερ ἐν τῇ ἐσχάτῃ πενίᾳ, μετανοίᾳ, ἀποδημίαις, ἐν τῇ περὶ τοὺς λόγους παιδείᾳ, κακώσεσι, δεσμοῖς, πέδαις, κόποις, καὶ μόχθοις διέτριψε, καὶ ταῦτα πάντα ὑπὲρ τοῦ Χριστοῦ πολὺ εὐθύμως καὶ με-

que magnitudine pertulit. Conatus est itē dæmon & cuiusque generis aduersarij totis eum viribus affligere, susceptosque ad Dei gloriam conatus eius disturbare, sed inuicto animi robore omnibus Dei beneficio superior semper euasit. Vixit annis sex & decem à confirmata Societate, quam interea multiplicatam vidit, & toto propemodum orbe diffusam. Duodecim prouincias constitutas reliquit, Lusitaniæ, Castellæ, Aragoniæ, Bœticæ, Italiæ, quæ Galliam Cisalpinam Hetturiamque complectitur, Neapolis, Siciliæ, Germaniæ tum superioris tum inferioris, Galliæ, Brasileæ, Indiæ quæ ad ortum est, in quibus tum Societatis vel collegia, vel domicilia centum numerabantur. Luxit Romana ciuitas vniuersa mortem huius admirandæ sanctitatis viri, sed eius in primis filij, qui Romæ tunc erant, ceterique vniuersi. Illius tamen mortui, vel vt verius dicam viuentis, opem auxiliumque senserunt. Nam ex illius obitu suauissimus quidam in vniuersa Societate doloris sensus est consecutus, lacrymæ iunctæ cum gaudio, desiderium sanctæ spei plenum, vigor & robur animorum passim excitatum, ita vt omnes laborandi pro Christo, grauiaque ac difficilia patiendi noua quadam ardere cupiditate viderentur. Eius corpus in templo nostro

S. Mariæ



καὶ μεγαλοψύχως ὑπέμεινεν. ἐπεχείρουν ὁμοίως ὅ τε κακοδαίμων καὶ παντοδαποὶ ἀντίδικοι πάσῃ δυνάμει αὐτὸν ἀποθλίβειν, καὶ τὰς αὐτοῦ ἐγχειρήσεις εἰς τὴν τοῦ θεοῦ δόξαν γινομένας διαταράττειν, αὐτὸς δὲ τῇ ἀνικήτῳ ἀνδρείᾳ, σὺν θεῷ, ἀεὶ πάντων περιεγένετο. βεβίωκεν ἔτη ἑκκαίδεκα ἀπὸ τῆς κυρώσεως τῆς ἑταιρίας, ἣν μεταξὺ πληθυνθεῖσαν, καὶ δι' ὅλης τῆς οἰκουμένης διαχυθεῖσαν ἔβλεψε. κατέλιπε δώδεκα ἐπαρχίας καθισταθείσας, τὴν δὴ τῆς Λυσιτανίας, Καστέλλης, Αραγωνίας, Βαιτικῆς, Ιταλίας, ἢ τὴν Κελτικὴν τὴν ἐντὸς Αλπεων, καὶ τὴν Ετρουρίαν συνέχει, τῆς Νεαπόλεως, Σικελίας, Γερμανίας, τῆς ἄνω καὶ τῆς κάτω, Γαλλίας, Βρασιλίας, Ινδικῆς τῆς ἀνατολικῆς, ἐν αἷς τότε τῆς ἑταιρίας σύλλογοι ἢ οἰκήματα ἑκατὸν ἠριθμεῖτο. καὶ ἐπένθησε μὲν σύμπασα ἡ Ρώμη τὸν τούτου ἀνδρὸς τῇ ἁγιότητι θαυμαστοῦ θάνατον, μάλιστα δὲ οἱ υἱοὶ αὐτοῦ τηνικαῦτα ἐν Ρώμῃ διάγοντες, καὶ οἱ λοιποὶ ἅπαντες. καίτοι αὐτοῦ θανόντος, ἤ, ὡς ἀληθέστερον εἰπεῖν, ζῶντος βοήθειαν καὶ ἐπικουρίαν ᾔσθοντο. ἐκ γὰρ τῆς τελευτῆς αὐτοῦ ἐν ὅλῃ τῇ ἑταιρίᾳ ἡδίστη τῆς λύπης αἴσθησις γέγονε, τοῖς δάκρυσιν ἡ χαρὰ προσῆν, ἐπιθυμία τῆς ἱερᾶς ἐλπίδος πλήρης, ἀκμὴ καὶ ἀνδρότης πανταχοῦ διηγέρθη, ὥστε πάντες ὑπὲρ Χριστοῦ κάμνειν, χαλεπά τε καὶ δεινὰ ὑπομένειν ἐδόκουν ἐξ ὑπαρχῆς προθυμεῖσθαι. τὸ σῶμα αὐτοῦ ἐν ναῷ ἡμῶν τῷ τῆς ἁγίας

Μαρίας

S. Mariæ de Strata ad dexteram aræ summæ Kal. Aug. humili ſepulcro mandatum eſt. Anno verò CIƆ. IƆ. LXIX. ara loco mota, primùm in aduerſam eiuſdem ædis partem translatum. Inde rurſus anno CIƆ. IƆ. LXXXVII. XIII. Kal. Decemb. qui dies S. Pontiano conſecratus eſt, in ædem ſumptuoſam profeſſæ domus ab Alexandro Farneſio Cardinali nuper exſtructam. Tumulo conditum fuit ad altaris dexteram in arca plumbea, planumque ſaxum impoſitum, muro verò nigrum politumque marmor inſertum, & hæc inciſa inſcriptio.

D. O. M.

*Ignatio Societatis* IESV
*Fundatori: Obdormiuit*
*in Domino ætatis ſuæ*
*anno LXV. confirmati*
*à Sede Apoſtolica ordi-*
*nis XVI. Salutis huma-*
*næ* CIƆ.IƆ.LVI. *pridie Kal.*
*Auguſt.*



Μαρίας ἀπὸ τῆς Στράτης καλουμένῳ, ἐπὶ δεξιᾷ τοῦ ἄκρου θυσιαστηρίου ἐν ταπεινῷ μνημείῳ τῇ α. τοῦ Αὐγούστου κατετέθη. τῷ δ' ἔτει ͵αφ' ξθ'. τοῦ θυσιαστηρίου μεθισταθέντος, εἰς τοὐναντίον μέρος τοῦ αὐτοῦ ναοῦ πρῶτον μετενέχθη. ἐκεῖθεν αὖθις ἔτει ͵αφ' πζ'. τῇ ιθ'. τοῦ Νοεμβρίου, τῷ ἁγίῳ Ποντιανῷ ἑορταζομένῃ εἰς τὸν πολυτελῆ ναὸν τῆς ἐπαγγειλαμένης οἰκίας ὑπὸ τοῦ Ἀλεξάνδρου Φαρνησίου Καρδιναλίου νεωστὶ οἰκοδομηθέντα μετεκομίσθη. ἐτάφη ἐπὶ τῇ τοῦ θυσιαστηρίου δεξιᾷ ἐν μολιβδίνῃ κιβωτῷ, καὶ λίθος λεῖος ἐπετέθη, τῷ δὲ τείχει μάρμαρος μέλας καὶ ξεστὸς ἐνεβλήθη, σὺν ταύτῃ τῇ ἐπιγραφῇ.

Θ. Β. Μ.

Ἰγνατίῳ τῷ τῆς τοῦ Ἰησοῦ
ἑταιρίας ἀρχηγῷ· ἀποθα-
νόντι ἐν κυρίῳ τῆς ἡλικίας
αὐτοῦ ἔτει ξέ. τῆς ἑταιρίας
ὑπὸ τῆς Ἀποστολικῆς καθέ-
δρας κυρωθείσης ις'. τῆς ἀν-
θρωπίνου σωτηρίας ͵αφ' νς'.

τῇ

# *August. eius in Christo filij Parenti optimo posuere.*

Nunc ibi piè colitur corpus huiusce B. Patris ab omnibus non modò filijs, sed vniuerso populo curiaque Romana, atque alijs qui eò religionis caussa ventitant. Mouentur enim admirabili sanctitate vitæ rebusque mirabilibus, quas Deus ad illustrandum eius apud homines nomen, eiusdem precibus efficit, copiosissimisque fructibus, qui à filiorum sudore laboribusque toto terrarum orbe nascuntur. Neq; non vident radicem, quæ plantas eiusmodi genuit, quam perfectissimam esse oportere; vberrimum Deoque gratissimum fontem, è quo fluxerunt illæ abundantes ac salutares aquæ virtutum atque doctrinæ, ad aridam huius mundi irrigandam, quæ innumerabiles alioqui spinas & herbas frugibus inimicas effunderet. Fuit mediocri statura, ore venusto, fronte lata neque rugosa, depressis oculis, palpebris vi lacrymarum contractis & corrugatis: modicis auribus, naso maiore & aquilino, colore nec albo, nec fusco, sed vtroque mixto & temperato, caluitie veneranda, vultus illi

iucundè



# τῇ λά. τοῦ Αὐγούστου, οἱ αὐτοῦ ἐν Χριστῷ υἱοὶ πατρὶ βελτίστῳ ἔθεσαν.

Νῦν ἐκεῖ τὸ σῶμα τούτου μακαρίου πατρὸς ὑπὸ πάντων οὐ μόνον τῶν υἱῶν, ἀλλὰ παντὸς δήμου καὶ αὐλῆς Ῥωμαϊκῆς, καὶ ἄλλων τῶν ἐκεῖσε εὐσεβείας ἕνεκα φοιτώντων σέβεται. ἐγείρονται γὰρ τῇ ἁγιότητι θαυμαστῇ τοῦ βίου καὶ τοῖς σημείοις ἀγαστοῖς, ἅπερ ὁ θεὸς εἰς τὸ παρὰ τοῖς ἀνθρώποις ὄνομα αὐτοῦ διαφημίζειν, τῇ δεήσει αὐτοῦ κατεργάζεται, καὶ τοῖς εὐπορωτάτοις καρποῖς, οἵτινες ἐξ ἱδρῶτος καὶ καμάτων τῶν υἱῶν πανταχοῦ γῆς ἐκφύονται. καθορῶσι γὰρ, ὅτι τὴν ῥίζαν τὴν τοιαῦτα φυτὰ βλαστάνουσαν δεῖ εἶναι τελειοτάτην· τὴν πηγὴν εὐπορωτάτην καὶ τῷ θεῷ χαριεστάτην, ἐξ ἧς ἐῤῥύηκεν ἐκεῖνα τὰ ἄφθονα καὶ σωτηριώδη ὕδατα τῶν ἀρετῶν καὶ τῆς διδαχῆς, εἰς τὸ τὴν τοῦ κόσμου τούτου ξηρὰν καταβρέχειν, ἣ ἂν ἄλλως ἀναριθμήτους ἀκάνθας καὶ πόας τοῖς καρποῖς βλαβερὰς ἐξέχεε. τὸ μὲν ἡλικίας ὁ Ἰγνάτιος μέσης ἔτυχε, τὴν ὄψιν εὐπρεπὴς, εὐρυμέτωπος ἄνευ ῥυτίδος, τοὺς ὀφθαλμοὺς καταπιεσθεὶς, τὰ βλέφαρα, διὰ τὸ τῶν δακρύων πλῆθος, συνεσταλμένος καὶ ἐῤῥυσωμένος, μετρίωτος, τὴν ῥῖνα μείζω οὖσαν, γρυπός· τὸ χρῶμα ἦν αὐτῷ λευκόφαιον, φαλακρότης αἰδέσιμος, πρόσωπον

ἡδέως

iucundè grauis, & grauiter iucundus, quique intuentes specie quadam & conformatione recrearet, grauitate componeret. Ex altero crure nonnihil claudicabat, quod, accepto vulnere demtoq; osse, paullò contractius erat: honestè id tamen, & quod incedendi moderatione tegeret.

## CAPVT XII.

*De præcipuis eius virtutibus, humilitate præsertim suique contemptu.*

ENimuerò quis admirabilem concentũ virtutum eius pro dignitate commemoret? quis cælestes opes, quibus eum Deus locupletauit, cælestia dona, quibus ornauit? pœnitentiæ grauitatem? perfectam contemptionem rerum humanarum? eximiam animi demissionem? inuictam patientiam? amabilem mansuetudinem? prudentiam singularem? suauem & efficacem gubernandi rationem? constantiam in rebus aduersis? robur in ijs, quæ difficilia sunt pro Dei amore suscipiendis, vigilantiam & sollicitudinem in exequendis? ardentem amorem in Deum & proximum? quis assiduitatem, contentionem, tranquillitatem orationis, qua animus, Dei sponsi sui amore concalescebat? quis prodigia, quæ idem Dominus per eum fecit, & in dies



ἡδέως σεμνὸν, καὶ σεμνῶς ἡδύ, τοὺς εἰσορῶντας εἴδει μέν τινι καὶ καταστάσει εὐφραῖνον, τῇ δὲ σεμνότητι σωφρονίζον. τῷ σκέλει ἑτέρῳ ἐπιπεσὸν ἐπέσκασεν, ὃ ἐκ τοῦ τραύματος γινομένου καὶ τοῦ ὀστέου ἀφαιρεθέντος, βραχύτερον ὑπῆρξε· τοῦτο δὲ τῷ βαδισμῷ μετρίῳ εὐσχημόνως ἀπέκρυπτε.

## Κεφ. ιβ'.

Περὶ τῶν ἐξαιρέτων αὐτοῦ ἀρετῶν, μάλιστα δὲ περὶ τῆς ταπεινότητος καὶ αὐτοῦ καταφρονήσεως.

ΑΛλὰ μὴν τίς ἂν τῶν ἀρετῶν αὐτοῦ θαυμαστὴν ἁρμονίαν κατ' ἀξίαν διέλθοι; τίς τὴν οὐράνιον εὐπορίαν, ἣν αὐτῷ ὁ θεὸς παρεῖχε, τὰ οὐράνια δῶρα, οἷς αὐτὸν ἐκόσμησε; τίς δεινότητα τῆς μετανοίας, τὴν τελείαν καταφρόνησιν τῶν ἀνθρωπίνων, τὴν ἐξαίρετον ταπεινοφροσύνην, τὴν ἀνίκητον ὑπομονὴν, τὴν ἐράσμιον πραότητα; τὴν ὑπερέχουσαν φρόνησιν, τὸν τοῦ κυβερνᾷν ἡδέα καὶ ἐνεργῆ τρόπον, τὴν εὐστάθειαν ἐν τῇ ἀτυχίᾳ, τὴν ἀνδρείαν ἐν τῷ τῶν δεινῶν ὑπὲρ τοῦ θεοῦ ἀντιλαμβάνεσθαι, καὶ τὴν ἐπιμέλειαν καὶ μέριμναν ἐν τῷ διαπράττεσθαι, τὴν ζέσιν ἀγάπην πρὸς τὸν θεὸν, καὶ τὸν πλησίον; τίς τὴν ἐπιμονὴν, σπουδὴν καὶ ἡσυχίαν τῆς προσευχῆς, ᾗ τινι ἡ ψυχὴ τῇ τοῦ θεοῦ νυμφίου αὐτοῦ ἀγάπῃ ἐθερμαίνετο; τίς τὰ τέρατα, ἃ ὁ αὐτὸς κύριος δι' αὐτοῦ ἐποίησε, καὶ

F καθ'

in dies facit? nam vt omittamus pœnitentiæ ſeueritatem, egeſtatem, inediam, frigus, verberationes, cilicia, & omne pœnarum genus, quibus corpus exercuit, ex quo cœpit Deo ſeruire, humilitatem inprimis reliquarum virtutum fundamentum ardenter amplexus eſt. Itaque pannoſus & ſeminudus, egens in hoſpitali pauperum domo paſſim cum egentibus verſari, abiici & conculcari, ignobilis eſſe ac pro nihilo putari, exultare gaudio, ſi quando deſpiceretur, & pro Chriſti amore vexaretur. Sic enim expreſſam non ſolùm ad intuendum, verùm etiam ad imitandum nobis huius virtutis imaginẽ reliquit: vt eã nobis proponentes eò magis nos demittamus, quò volumus excelſiorem in locum adſcendere, quantoque ſublimiorem ædificij molem exſtruimus, tantò altiora fundamenta iaciamus: illud denique certum & exploratum habeamus, multò magis hanc ſubmiſſionem ad ſalutem & conuerſionẽ animorum valere, quàm humanam auctoritatem, vel cum tenuiſſima ambitionis aut arrogantiæ ſuſpicione coniunctam. Et ille quidem talis tantusque cum eſſet, vt ex ipſomet audiui, petebat ab omnibus è domo virtutum exempla, ſumebatque materiam erubeſcendi, nec vllum niſi ſe tantùm improbabat. Scripſit aliquando in quadam epiſtola, quam vidi, ſe nullum



καθ' ἑκάστην ποιεῖ; ὡς γὰρ παραλείπωμεν τὴν τῆς μετανοίας αὐστηρότητα, ἔνδειαν, ἀσιτίαν, ψῦχος, μαστιγώσεις, τριχίνια, καὶ παντοδαπὰς ποινάς, αἷς τὸ σῶμα ἤσκησεν, ἐξ οὗ τῷ θεῷ δουλεύειν ἤρξατο, μάλιστα περὶ τὴν ταπεινότητα τῶν ἄλλων ἀρετῶν θεμέλιον οὖσαν σφόδρα ἐσπούδασε. Διόπερ ῥακώδης ἡμίγυμνος, καὶ ἐνδεὴς ἐν τῷ πτωχοδοχείῳ πανταχοῦ μετὰ τῶν πτωχῶν διέτριψε, καταβαλλόμενος, καὶ καταπατούμενος, ἀδοξῶν, καὶ ἐξουδενούμενος· ἐπὶ τῇ καταφρονείᾳ καὶ τῇ ὑπὲρ τοῦ Χριστοῦ κακουχίᾳ ὡς μάλιστα ἥδετο. οὕτω γὰρ ταύτην τὴν ἀρετήν, μὴ μόνον εἰς τὸ εἰσορᾶν, ἀλλὰ καὶ μιμεῖσθαι εἰκονισμένην ἡμῖν κατέλιπεν, ὥστε αὐτὴν πρὸ ὀφθαλμῶν ἔχοντες, τοσούτῳ μᾶλλον ἡμᾶς ταπεινοῦμεν, ὅσῳ εἰς ὑψηλότερον τόπον ἀναβῆναι ἐθέλομεν· καὶ ὅσῳ ἀνώτερον οἰκοδομοῦμεν, τοσούτῳ βαθύτερον θεμέλιον καταβαλλόμεθα· τελευταῖον εἰς ἐπείσθημεν, ταύτην τὴν ταπεινοφροσύνην εἰς τὸ τὰς ψυχὰς σώζειν καὶ ἐπιστρέφειν πολὺ μᾶλλον ἰσχύειν τοῦ ἀνθρωπίνου ἀξιώματος, ᾧ καὶ ἐλαχίστη τῆς φιλοτιμίας ἢ τῆς ἀλαζονείας ὑποψία προσέστι. κἀκεῖνος μὲν τοιοῦτος καὶ τοσοῦτος ὤν, παρὰ πάντων τῶν οἴκοι, καθὼς αὐτοῦ τόδε λέγοντος ἤκουσα, τὰ τῶν ἀρετῶν παραδείγματα καὶ αἰτίαν τοῦ αἰσχύνεσθαι ἐλάμβανε, μηδένα δὲ μὴ ἑαυτὸν ἐκφαυλίζων. ἐν ἐπιστολῇ τινι, ἣν ἔβλεψα, ἔγραψέ ποτε, ὅτι μηδενί, καίπερ

vnquam cum vllo quamuis improbo de rebus diuinis exorſum eſſe ſermonem, quin hac arte ſibi magnum cepiſſe fructũ videretur, propterea quòd ſine dubitatione ſe nequiorem illo deterioremque exiſtimaret. Ad hæc dictitabat, credere ſe in terris reperiri neminem, qui collatis in ſe tot tamque aſſiduis Dei beneficijs ſæpius quàm ipſe prætermiſſæ gratiæ culpam incurreret, & negligentius officium Deo præſtaret. Mihi dixit aliquando, ſe ad Deo precatum, vt cùm è vita migraſſet, cadauer ſuum auibus & feris dilaniandum abijci pateretur; Cùm enim, inquit, vt probè noui, nihil ſim niſi ſterquilinium & fœtida cloaca, quid aliud ſceleribus meis dignum exoptem? Ab omnibus cupiebat illudi, aiebatque futurum, vt in publico pannoſus, aut ſeminudus & lutulentus incederet, niſi moderaretur affectibus, vt fatuus ab omnibus iudicaretur.

Sed hunc humilitatis ardorem charitate deſiderioque iuuandi proximum temperabat. Raro de rebus ſuis agebat, niſi res magnam neceſſitatem afferret. Quòd ſi de ijs alius eo præſente tractaret, aut ea diceret quæ eſſent cum eius laude coniuncta, continuò ſeipſum colligebat lacrymans, & magno rubore ſuffuſus. Sacerdos quidam Societatis maturus & ætate grauis





πονηρῷ ὄντι, περὶ τῶν τοῦ θεοῦ ὁμιλῆσαι ἤρξατο, ταύτῃ τῇ τέχνῃ μὴ σφόδρα ὠφεληθεὶς, ἀνθ' ὧν ἑαυτὸν ἐκείνου πονηρότερον καὶ κακίω εἶναι ἀναμφιβόλως ἐνόμισε. πρὸς τούτοις συχνῶς ἔλεξεν, ὅτι οὐδεὶς ἐπὶ τῆς γῆς εὑρίσκεται, ὃς περὶ τοῦ θεοῦ πλείω καὶ συχνότερα εὐεργετηθεὶς, πλεονάκις ἂν τῇ ἀχαριστίᾳ ἐξημάρτανε, καὶ ἀμελέστερον τὸν θεὸν ἐθεράπευεν. ἐμοί ποτε εἶπεν, ὅτι τὸν θεὸν ἠξίωσεν, ἵνα τὸ πτῶμα αὐτοῦ τελευτήσαντος, εἰς τὸ ὑπὸ τῶν πετεινῶν καὶ θηρίων διασπαράττεσθαι, ἐάσῃ ἀποβληθῆναι· αἰδὼς γὰρ ἀκριβῶς (ἔφη) ὅτι μηδέν εἰμι, ἤπερ κοπρία καὶ δυσώδης ὀχετὸς, τί ἂν ἄλλο τῶν ἀδικημάτων μου ἄξιον ἐπευξαίμην; ὑπὸ πάντων χλευάζεσθαι ἐπεθύμει λέγων, ὅτι ἤμελλε δημοσίᾳ ῥακώδης ἢ ἡμίγυμνος καὶ βορβορώδης βαδίζειν, ὥστε ὑπὸ πάντων μωρὸν νομισθῆναι, εἰ μὴ τὴν ὁρμὴν ἐπεῖχεν.

Ἀλλὰ μὴν τοῦτο τῆς ταπεινοφροσύνης διάπυρον τῇ ἀγάπῃ καὶ τῷ τοῦ τῷ πλησίον βοηθεῖν πόθῳ ἐσωφρόνισε. σπανίως μὲν περὶ τῶν ἑαυτοῦ διελέγετο, εἰ μὴ τοῦτο πάνυ ἀναγκαῖον ἐγένετο· ἄλλου δὲ περὶ ἐκείνων λέγοντος, ἢ τὰ τῷ ἐγκωμίῳ αὐτοῦ προσόντα διηγουμένου, παραυτίκα ἀνέλαβεν ἑαυτὸν δακρύων καὶ ἐρυθριῶν. ἱερεύς τις τῆς ἑταιρείας συνετὸς, τῇ ἡλικίᾳ προβεβηκὼς, καί ποτε αὐτῷ ἐπὶ τῶν

ei à confessionibus aliquandiu fuerat, natione Nauarrus, nomine Iacobus Eguia, vir tantæ virtutis & innocentiæ laude cumulatus, vt B. Pater diceret: Cùm ad cœtum beatorum in cœlis aggregati fuerimus, P. Iacobus in tantam excelsitatem adscendet, vt eum nos locorum interuallo disiuncti videre vix possimus. Atque hic senex virtutes & integritatem B. Patris grauiter extollere solebat, vt qui eius animi candorem, intimosque sensus exploratos haberet & cognitos. Erat hæc Patri adeo grauis & odiosa laudatio, vt eum interposito obedientiæ nomine iusserit eiusmodi sermonibus abstinere. Sed hic immemor edicti, cùm in pristinam subinde consuetudinem relaberetur, destitit etiam ipse eius in aure peccata deponere. Hic idem senex illud crebrò vsurpabat; Vtinam me Deus P. Ignatio vel paucis diebus superstitem esse vellet, ad ea patefacienda quæ de ipso cognoui. Sed Deo, cuius in potestate sunt omnia, longe aliter visum est. Nam hic ante B. Ignatium triduo decessit, quod ipsum, vt creditum fuit, precibus impetrauit Ignatius. Tantam autem sui cognitionem erat consecutus, vt compluribus annis antequam huius lucis vsuram amitteret nullo omnino sensu tangeretur inanis gloriæ, tantoque lumine illustra-



τῆς ὁμολογήσεως ἀπορρήτων γενόμενος, τῷ μὲν γένει Ναυαρρος, τῷ δ᾽ ὀνόματι Ἰάκωβος Εγυΐας, ἐπὶ τῇ ἀρετῇ καὶ τῇ ἀκακίᾳ οὕτως εὐδόκιμος, ὥστε τὸν μακάριον πατέρα εἰπεῖν· ὅταν τῇ τῶν ἁγίων ἑταιρείᾳ ἐν οὐρανῷ προσταχθῶμεν, ὁ πατὴρ Ἰάκωβος εἰς τοσοῦτο ὕψος ἀναβήσεται, ὡς ἡμεῖς τῷ τῶν τόπων διαστήματι ἀπέχοντες αὐτὸν εἰσορᾷν μόγις δυνάμεθα. καὶ αὐτὸς ὁ γέρων τὰς ἀρετὰς καὶ τὴν ἀκακίαν τοῦ μακαρίου πατρὸς σεμνῶς ἐγκωμιάζειν εἴωθεν, ὡς τὴν τοῦ νοῦ αὐτοῦ εἰλικρίνειαν, καὶ τὴν ἐνδοτάτην γνώμην σαφῶς ἐπιστάμενος. ταύτην δ᾽ ἐπαίνεσιν ὁ πατὴρ οὕτως ἐδυσχέραινεν, ὥστε αὐτὸν διὰ τῆς ὑπακοῆς τοιούτων λόγων ἀπέχειν ἐκέλευσε. τούτε δὲ ὑπὸ λήθης τοῦ προστάγματος εἰς τὸ πρόσθεν ἔθος ἐνίοτε μεταπίπτοντος, καὶ αὐτὸς ἐκείνῳ τὰς ἁμαρτίας ἐξομολογούμενος ἐπαύσατο. ὁ αὐτὸς ὁ γέρων πολλάκις τοῦτο λέγειν εἴωθεν· εἴθε ὁ θεὸς τῷ Ἰγνατίῳ ὀλίγας γε ἡμέρας με ἐπιβιῶναι βούλοιτο, τοῦ φανερῶσαι, ἅπερ περὶ αὐτοῦ ἐγνώρισα. ἀλλὰ τῷ θεῷ, ἐφ᾽ ᾧ πάντα ἐστὶ, πάνυ ἄλλο ἔδοξεν. αὐτὸς γὰρ πρὸ τοῦ μακαρίου Ἰγνατίου τρισὶν ἡμέραις ἀπέθανεν, ὅ,τι, καθὼς ἐπιστεύθη, τῇ προσευχῇ ὁ Ἰγνάτιος διήνυσε. τοσαύτης δὲ αὐτοῦ γνώσεως ἐπέτυχεν, ὥστε πολλοῖς ἔτεσι πρὶν ἢ μετήλλαξεν, οὐδεμιᾶς κενοδοξίας ᾔσθετο, καὶ οὕτως

illuſtratus, vt diceret, nullum eſſe culpæ genus à quo minùs ſibi putaret metuendum. Hic tamen vermis omnia rodit, etiam cedros Libani: atque in animo ſui amore cæcato & de ſe maiora ſentiente innaſcitur. Nihil erat apud eum lautum, nihil elegans, nihil exquiſitum, nihilque ſumptuoſum, humilitatem cuncta redolebant. Vilis erat illi veſtitus tametſi nitidus & mundus, vilis lectus, vilis cibus, adeoque tenuis & parcus, vt perpetuam quandam ieiunij legem ſeruare videretur. In abiectioribus domus miniſterijs libentiſſimè verſabatur, cuiuſmodi erat componere lectos ægrotorum aliaque id genus quàm plurima. Quòd ſi res in controuerſiam vocaretur non ſatis clara & euidens, facilè in aliorum ſententiam ibat. Quamuis honoris gradu ſuperior eſſet omnibus, ſe tamen æquabat ijs, qui ſub eius erant poteſtate, immò verò ſubijciebat ſe interdum etiam minimo, admirabili quadam lenitate & modeſtia. Cùm doctrinam Chriſtianam rudioribus traderet, puer quidam è collegio ſimpliciter & candidè monuit, vt curam & ſtudium in expolitione linguæ poneret, eò quòd neſcio quid barbarũ & peregrinũ in Italica lingua ſonaret. Cui Pater, Rectè mones, inquit, ſed obſerua diligenter (amabo) me docentem,





ἐφωτίσθη, ὥστε ἔλεξεν, ὅτι δοκεῖ μηδεμίαν αἰτίαν ἧττον φοβεῖσθαι. ἀλλ' ὅμως οὗτος σκώληξ πάντα καὶ τὰς κέδρους τοῦ Λιβάνου κατατρώγων, τῷ νῷ τῇ φιλαυτίᾳ τυφλωθέντι καὶ μεγαλοφρονοῦντι ἐγγίνεται. μηδὲν μὲν αὐτῷ ἦν λαμπρὸν, μηδὲν κομψὸν, μηδὲν ἐξηκριβωμένον, μηδὲν πολυτελὲς, πάντα δὲ τῆς ταπεινοφροσύνης ἀπόζεσεν. ἐσθὴς αὐτῷ ἦν εὐτελὴς, καίπερ καθαρὰ καὶ ἀρρύπαρος, εὐτελὴς κλίνη, εὐτελὴς σῖτος οὕτω λιτὸς καὶ φειδωλὸς, ὥστε συχνόν τινα νόμον τῆς νηστείας τηρῆσαι δοκεῖν. ταῖς εὐτελεστέραις ὑπηρεσίαις τοῦ οἴκου ἀσμενέστατα προσεφέρετο, οἷον ἦν στρωννύειν τὰς κλίνας τῶν νοσούντων, καὶ τἄλλα τοιαῦτα πλεῖστα. ἀμφισβητήσεως δὲ γινομένης περὶ πράγματός τινος, οὐχ ἱκανῶς σαφοῦς καὶ ἐναργοῦς ὄντος, ῥᾳδίως τοῖς ἄλλοις ὁμογνωμόνει. εἰ καὶ τῷ τῆς τιμῆς βαθμῷ πάντων προεῖχεν, ὅμως τοῖς ἀρχομένοις ἑαυτὸν ἐξωμάλιζε, μᾶλλον δὲ τῷ ἐλαχίστῳ ποτὲ σὺν θαυμαστῇ τινι πρᾳότητι καὶ ταπεινοφροσύνῃ ὑπετάττετο. τὴν χριστιανὴν κατήχησιν τοὺς ἰδιώτας αὐτὸν διδάσκοντα, παῖς τις τοῦ συλλόγου ἁπλῶς καὶ εἰλικρινῶς παρῄνεσε, σπουδὴν ποιεῖσθαι περὶ τὸ τὴν γλῶτταν ἐπεξεργάζεσθαι, ἀνθ' ὧν οὐκ οἶδ' ὅ,τι βάρβαρόν τι καὶ ξένον ἐν τῇ Ιταλικῇ γλώττῃ ἐφθέγγετο. ᾧ τινι ὁ πατὴρ, καλῶς παραινεῖς, εἶπεν, ἀλλ' ἀκριβῶς, δέομαί σου, ἐμὲ διδάσκοντα παρατήρει,

& ſiquid vitioſum fuerit, notato, vt emendet. Cur ordinem nomine IESV inſigniri voluerit, ea potiſſimum ratio fuit, ne de ſuo nomine diceretur, neue eius conſtituendæ ſocius & adminiſtrator fuiſſe videretur. Si quando mentionem eius inferret, illud vſurpare conſueuerat. Hæc minima Societas, vt quemadmodum eſſet ipſe iudicio ſuo minimus, tales etiam haberentur & filij. Sed quid hanc virtutem commemorem, qua toties ex animi ſui ſententia Societatis adminiſtrationem deprecatus, & vſque eò recuſauit, quoad is qui à confeſſionibus ipſi fuerat, religionem iniecit? ſed nec tamen in poſterum conquieuit: nam anno CIↃ. IↃ. L. præcipuos è Societate Patres conuocauit, vt ijs auctoribus magiſterio ſe abdicaret. Denique teſtatus eſt, & ſcriptis ad eos litteris confirmauit, in ſe non reperiri vel minimam partem earum virtutum, quæ ad hoc munus neceſſariæ eſſe videantur. Verùm ſit hoc humilitatis eius, ſcimus enim quicunque eum nouimus, tam eximijs fuiſſe præditum, tanta ſcientia gubernandi, vt ſummi moderatores ordinis noſtri ab eo bene regendi exempla petere meritò debeant. Sed quamuis, quod deſiderabat, impetrare non potuit, patreſque facti auctores futuros ſe negauerunt, noua tamen

huius



τῷ εἴ τι πλημμελὲς ἔσται, σημείωσον, ἵνα διορθωθῶ. ἡ αἰτία, δι᾽ ἣν τῇ τάξει τὸ τοῦ Ἰησοῦ ὄνομα τιθέναι ἠθέλησεν, ἥδε μάλιστα ὑπῆρξε, τοῦ μὴ καλεῖσθαι αὐτὴν τῷ αὐτοῦ ὀνόματι, μηδ᾽ αὐτὸν τοῦ καθίστασθαι ἐκείνην συνεργὸν καὶ διοικητὴν γενέσθαι δοκεῖν. εἴ ποτε περὶ αὐτῆς μνείαν ἐποιεῖτο, οὕτω φράζειν εἴωθεν· αὕτη ἐλαχίστη ἑταιρία, ὥστε, καθάπερ τῇ γνώμῃ αὐτοῦ ἐλάχιστος ἦν, τοιούτους καὶ τοὺς υἱοὺς αὐτοῦ νομίζεσθαι. τί δ᾽ ἂν διέλθοιμι τὴν ἀρετήν, ἣ τοσάκις ἐξ ὅλης τῆς καρδίας τὴν τῆς ἑταιρίας διοίκησιν ἀπευξάμενος παρῃτήσατο, ἕως ἂν ὁ τὴν αὐτοῦ ἐξομολόγησιν ἐκδεχόμενος ἐνθύμιον ποιήσηται; ἀλλ᾽ οὐδὲ τὸ λοιπὸν τούτῳ ἐπανεπαύετο. τῷ γὰρ ἔτει αφ΄ν΄. τοὺς προέχοντας πατέρας τῆς ἑταιρίας συνεκάλεσε, ἵνα τῇ ψήφῳ αὐτῶν τῆς προστασίας ἀπιέναι. τὸ τελευταῖον μαρτυρήσας, καὶ ἐπιστείλας αὐτοῖς διεβεβαιώσατο, ἐν αὐτῷ οὐδ᾽ ἐλάχιστον μέρος τῶν ἀρετῶν τῶν τῇ ταύτῃ προστασίᾳ ἀναγκαίων εἶναι δοκουσῶν εὑρίσκεσθαι. ἀλλ᾽ οὕτως εἶχε τῆς ταπεινοφροσύνης· οἴδαμεν γὰρ πάντες, ὅσοι ἂν αὐτὸν ἐγνώκαμεν, ὅτι ὑπερόχοις ἀρεταῖς, καὶ τοσαύτῃ τοῦ κυβερνῆσαι ἐπιστήμῃ ἐκοσμήθη, ὥστε τοὺς μεγίστους προστάτας τῆς ἡμῶν ἑταιρίας παρ᾽ αὐτοῦ, τοῦ εὖ διοικεῖν παραδείγματα εἰκότως δεῖν αἰτῆσαι. εἰ δὲ καὶ τῆς δεήσεως αὐτοῦ ἀπέτυχε, καὶ οἱ πατέρες ἠρνήσαντο, ἵνα αὐτὸν τὴν ἀρχὴν ἀπειπεῖν, αἰτίους ἔσεσθαι, οὐ δήπου

περὶ

huius abdicationis conſilia tractare non deſtitit, & omnes vias perueſtigare, quibus adminiſtratione ſolutus & liber ad contemplationem ſe transferret. Exiſtimabat enim (vt mihi quidem dicebat) inutilem ſe & ineptum ad omnia, & in eo gradu collocatũ, quem alius, quàm ipſe, felicius teneret. Sed neque tum ipſi quod optabat extorquere fas fuit; firmiſſimè ſiquidem aſſeueratum fuit, non eſſe ſperandum, vt ad eius voluntatem accederet vnquam Societatis auctoritas, neque commiſſuram, vt eius gubernacula alius eo viuo capeſſeret. Ab hac tam eximia præſtantique virtute naſcebatur deſpicientia ſui, rerumque humanarum ac terrenarum. Auet enim qui verè demiſſus eſt deprimi, cenſetque eam depreſſionem, vt B. Bernardus auctor eſt, munire ad humilitatem viam. Ab eadem oriebatur in laboribus fortitudo, patientia in rebus aduerſis. Talis enim cùm ſit ad ſeipſum ſemper intentus, ſeque maximè nocentem & conſolatione indignũ exiſtimet, omnibus ſe rebus inferiorem putat, nec mali ſibi quidquam poſſe accidere, quod pro magnitudine peccatorum ſuorum exiguum non videatur: huic denique optatiſſimum eſt, vt res omnes quaſi iuſtitiæ diuinæ adminiſtri debitas atque vltrices à ſe pœnas repoſcant.

CAPVT



περὶ τούτου αὖθις βουλευόμενος, καὶ πάσας ὁδοὺς ἐξερευνῶν ἐποιήσατο, δι' ὧν ἂν τῆς προστασίας ἀπαλλαχθεὶς καὶ ἀπολυθεὶς τὸν νοῦν τῇ θεωρίᾳ προσέχειν. ἡγεῖτο γὰρ μὲν (καθὼς ἐμοὶ ἔλεγεν) ἑαυτὸν πρὸς ἅπαντα ἄχρηστον καὶ ἀφυῆ εἶναι, καὶ κατασταθῆναι εἰς τόνδε τὸν βαθμὸν, ὃν ἄλλος ἂν, ἢ αὐτὸς εὐτυχέστερον κατέχειν ἠδύνατο. ἀλλ' οὔτε τηνικαῦτα τὸ ποθούμενον αὐτοῦ ἐκβιάζεσθαι οἷός τε ἐγένετο, πάντων εὐσταθῶς καταφάντων οὐδεμίαν ἐλπίδα εἶναι, τὴν τῆς ἑταιρίας αὐθεντίαν τῇ βουλῇ αὐτοῦ πώποτε συγκατατεθήσεσθαι, οὐδ' ἐάσειν, αὐτοῦ ζῶντος, τὴν προστασίαν ἄλλον πιστευθῆναι. ταύτης δὲ τῆς ἐξαιρέτου καὶ ἐπιφανοῦς ἀρετῆς ἐξεγίνετο ἡ αὐτοῦ καὶ πάντων ἀνθρωπίνων καὶ ἐπιγείων καταφρόνησις. ὁ γὰρ ὄντως ταπεινόφρων ἐπιθυμεῖ καταπιέζειν, καὶ νομίζει τήνδε τὴν καταπίεσιν, καθάπερ ὁ ἅγιος Βέρναρδος συνέγραψε, τῇ ταπεινοφροσύνῃ ὁδοποιεῖν. τῆς αὐτῆς ἐξεφύετο ἥ τε ἐν τοῖς κόποις ἀνδρότης, καὶ ἡ ὑπομονὴ ἐν τοῖς ἀτυχήμασι. τοιοῦτος γὰρ ἑαυτῷ τὸν νοῦν πάντοτε προσέχων, καὶ ὡς μάλιστα ἑαυτὸν ὑπεύθυνον, καὶ τῆς παραμυθίας ἀνάξιον εἶναι δοκῶν, πάντων ἐλαττοῦσθαι ἡγεῖται, καὶ μηδὲν κακὸν αὐτῷ συμβῆναι δύνασθαι, ὅ, τι ἂν πρὸς τὸ τῶν ἁμαρτιῶν πλῆθος οὐ μικρὸν φαίνοιτο. τέλος δὲ τούτῳ προτιμώτατόν ἐστι, πάντα, ὡς τῇ τοῦ θεοῦ δικαιοσύνῃ ὑπουργοῦντα, τὰς ὀφειλομένας δίκας καὶ τιμωρίαν αὐτὸν αἰτεῖν.

Κεφ.

## CAPVT XIII.

*Exacta eius mortificatio, & in Deum charitas.*

QVid dicam domitas habuisse cupiditates? quid libidines & reliquos impetus animi non rectos? tanta pace mentisque tranquillitate fruebatur, vt nihil admodum eum turbare posse videretur. Erat ea constitutione corporis, vt bilis maximè dominaretur, tanta tamen in eo cernebatur comitas, affabilitasque sermonis, vt eum natura pituitosum & frigidum diceres. Sed eo quod in affectu vitiosum erat edomito, vim tamen in agendo vigoremque retinebat. Eundem tenorem semper in rebus gerendis habuit, & perpetuitatem in omni vita seruauit. Licet enim valetudo corporis esset varia, semper tamen constans animus & æquabilis erat, nec inclinatio rerum aut temporis animi inclinationem afferebat. Atq; hæc æquabilitas animi perpetuaque constantia in corpus etiam suo modo redundabat, vultumque pro sua voluntate fingebat. Aliquando cùm morbo laboraret, monuit medicus, vt omnium rerum imagines quæ tristitiam animo afferre possent, è cogitatione depelleret. Quocircà secum attentè cogitare cœpit, num res tam atrox & acerba





## Κεφ. ιγ'.

Ἡ αὐτοῦ ἀκριβὴς νέκρωσις, καὶ θεοφιλία.

ΤΙ λέξω, ὅτι τὰς ἐπιθυμίας, ἀσελγείας, καὶ τὰς ἄλλας τῆς ψυχῆς ἀτάκτους ὁρμὰς δαμαστὰς εἶχε; τοσαύτης εἰρήνης καὶ εὐθυμίας ἀπέλαυσεν, ὥστε μηδενὶ αὐτὸν σφόδρα ταραχθῆναι δύνασθαι ἐδόκει. τὸ σῶμα μὲν οὕτως εἶχεν, ὥστε αὐτὸν πάνυ ὀξύχολον πεφυκέναι, τοσαύτη δὲ ὅμως εὐπροσηγορία καὶ περὶ τὸν λόγον φιλοφροσύνη ἐν αὐτῷ ἐφαίνετο, ὡς αὐτὸν τὴν φύσιν φλεγματικὸν καὶ ψυχρὸν ἔλεγες. ἀλλὰ τοῦ ἐν τῷ πάθει κακοῦ ὄντος κρατήσας, τὴν ἐν τῷ πράττειν ἐνέργειαν καὶ ἀκμὴν ἐτήρει. ἐν τοῖς πράγμασι τῷ αὐτῷ καὶ ἀμεταλλάκτῳ τρόπῳ ἀεὶ χρώμενος, τὴν ἐνδελέχειαν δι᾽ ὅλου τοῦ βίου διεφύλαξεν. καίτοι γὰρ ἡ τοῦ σώματος ἕξις διαφόρως εἶχεν, ὅμως τὸν νοῦν εὐσταθὴς καὶ ὁμαλὸς πάντοτε ἐτύγχανε, καὶ ἡ τῶν πραγμάτων ἢ τοῦ χρόνου μεταβολὴ, μηδεμίαν τοῦ νοῦ μεταβολὴν κατειργάζετο. αὕτη δὲ ἡ τῆς ψυχῆς ὁμαλότης καὶ συνεχὴς εὐστάθεια καὶ εἰς τὸ σῶμά πως διῆκε, καὶ τὸ πρόσωπον, καθὼς πρὸς θυμοῦ ἦν, κατηρτίζετο. νοσοῦντί ποτε αὐτῷ ὁ ἰατρὸς παρῄνεσε, πάντων τῶν πραγμάτων φαντάσματα τὰ τὸν νοῦν λυπεῖν δυνάμενα, τῆς διανοίας ἀπωθεῖν. πρὸς ἑαυτὸν οὖν ἀκριβῶς σκοπεῖσθαι ἤρξατο, μή τι οὕτω δεινὸν καὶ

cerba poſſet accidere, quæ ſe moleſtia afficeret, & è perpetua mentis pace & tranquillitate deijceret. Hæc cogitanti & rerum naturam peregrinanti illud vnum occurrit; Si quo caſu Societas diſſolueretur. Quod ſi tamen hoc ſine ſua culpa eueniret, & quartam horæ partem in oratione poneret, priſtinam animi quietem ſe recuperaturum ſperabat, etiamſi vniuerſa Societas tanquam ſal aquâ colliquiſſet. Quantùm ergò à ſe ipſo auulſum, & Deo conglutinatum fuiſſe oportuit, cuius in re tam graui eiuſque propria, tanta erat cum diuina voluntate conſenſio? indicium id ſanè clarum & euidens, vitioſam naturam penitus in Ignatio edomitam ac compreſſam fuiſſe.

Hac abdicatione voluntatis, hac animi moderatione & cognitione ſui, ad charitatis in Deum reliquarum virtutum reginæ ac dominæ perfectionem ſibi fecerat gradum, quæ quidem nulla in re magis elucet, quàm in earum rerum varietate & copia, quas pro eius amore geſſit ac pertulit. Verus enim amor nunquam eſt otioſus, nec ſatis ei eſt multis agendo frangi laboribus pro eo quem diligit, niſi & multa pati paratus ſit, ſanguinemque profundere. Et quidem quantis laboribus hic ſe B. Pater exercuerit, quanta pro Dei honore glo-



πικρὸν ἂν συμβαίνειν δύναιτο, ὃ αὐτὸν βαρύνοι, καὶ ἐκ τῆς διηνεκοῦς εἰρήνης καὶ εὐθυμίας ἐξιστῷ. Ταῦτα ἐννοοῦντι καὶ φύσιν πάντων σκοποῦντι τόδε μόνον ἐπῆλθεν, εἰ συνέβαινε τὴν ἑταιρείαν διαλυθῆναι. ἐὰν ᾖ τοῦτο ἀνεγκλήτως πάθῃ, καὶ τέταρτον μέρος τῆς ὥρας τῇ προσευχῇ ἐνδιατρίψῃ, τὴν πρόσθεν εὐθυμίαν ἀναλήψεσθαι ἤλπισεν, εἰ καὶ ὅλη ἡ ἑταιρεία ὥσπερ ἡ ἅλς, τῷ ὕδατι, κατετήχθη. πόσον οὖν αὐτοῦ ἀποσπασθῆναι, καὶ τῷ θεῷ προσκολληθῆναι ἐδέησεν, ὃς ἐν πράγματι οὕτω μεγάλῳ καὶ αὐτοῦ ἰδίῳ, τοσοῦτον τῷ τοῦ θεοῦ θελήματι συνεφώνησε; τεκμήριον δὴ τοῦτο σαφὲς καὶ ἐναργὲς τοῦ τὴν κακὴν φύσιν ἐν τῷ Ἰγνατίῳ παντελῶς δμηθῆναι καὶ καταπιεσθῆναι.

Ταύτῃ τῇ τῆς βουλήσεως ἀποτάξει, καὶ σωφροσύνῃ, καὶ αὐτοῦ γνώσει εἰς τὴν τῆς θεοφιλίας τῆς τῶν ἄλλων ἀρετῶν βασιλίσσης καὶ δεσποίνης οὔσης τελειότητος αὐτῷ βάσιν ἐποίησεν, ἣ ἐν μηδενὶ μᾶλλον ἐκλάμπει, ἤπερ ἐν τῇ ἐκείνων ποικιλίᾳ καὶ πλήθει, ἅτινα ὑπὲρ αὐτοῦ διεπράξατο, καὶ ἔπαθεν. ἀληθινὴ γὰρ φιλία οὐδέποτε ἀργεῖ, καὶ οὐκ ἀρκεῖ αὐτῇ σφόδρα ὑπὲρ τοῦ ἀγαπωμένου διαπονεῖσθαι, ἐὰν μὴ καὶ ἕτοιμος γένηται πολλὰ παθεῖν, καὶ τὸ αἷμα ἐκχεῦσαι. καὶ ὅσοις μὲν πόνοις οὗτος ὁ μακάριος πατὴρ ἑαυτὸν ἤσκησε, καὶ ὅσα, τῇ τὴν τοῦ θεοῦ τιμὴν

καὶ δόξαν

re gloriæque propagatione perpessus sit, illud quodammodò ex ijs quæ dicta sunt colligi potest. Sed idē tamen dicere solebat, huius inferioris mundi vniuersas res in altera libræ lance positas, nullius apud se ponderis fore, si in alteram imponerentur, quas hauserat à Deo gratias in vexationibus, carceribus, catenis, quas pro eius amore subierat, nec quidquam posse tantam in animo suo voluptatem gignere, quantam in tolerandis pro Deo rebus aduersis capiebat. Vnde cum quidam Pater ex eo quæreret, quænam esset breuior, certior & securior quærendæ perfectionis via, rerum multarum & grauium pro Dei amore perpessionem esse respondit. Roga Deum, inquit, vt idem tibi beneficium tribuat, nam in quem illud collocat, alia multa confert quæ in eodem includantur. Hoc rogabat, hoc adeptus erat, hoc docebat Ignatius, vnde quanta in Deum fuerit charitate perspicimus. Sed alia etiam nobis suppetunt argumenta maiora. Finis quippe, quo omnes eius referebantur actiones & cogitationes, erat maior Dei gloria. Non enim illi satis erat, vt in eo quod agebat, non offenderetur Deus, nisi simul eius amplificaretur honor & gloria. Cumque de duobus bonis quæreretur, vtrum esset eligendum, semper illud præferebat, in quo



καὶ δόξαν αὐξῆσαι, ὑπέμεινεν, ἐκ τῶν προειρημένων ἀδήλως ἐστὶ τεκμαίρεσθαι. αὐτὸς δὲ ὅμως εἰπεῖν εἴωθε, πάντα τούτου τοῦ κάτω κόσμου ἐν τῷ ἑτέρῳ τοῦ σταθμοῦ ζυγῷ τεθέντα, ἀβαρῆ ἔσεσθαι, τῶν χαρίτων, παρὰ τοῦ θεοῦ ληφθεισῶν ἐν ταῖς κακώσεσι, φυλακαῖς, σειραῖς, ἃς αὐτοῦ ἕνεκα ὑπέμεινεν, ἐν ἑτέρῳ ζυγῷ τιθεμένων· καὶ τὴν διάνοιαν αὐτοῦ μηδενὶ οὕτως ἥδεσθαι, ὡς τῷ ὑπὲρ τοῦ θεοῦ ἀτυχήματα πάσχειν. ὅθεν πατρός τινος αὐτὸν ἐρωτήσαντος, τίς ἂν βραχίων, δηλοτέρα καὶ ἀσφαλεστέρα μέθοδός ἐστι τοῦ τὴν τελειότητα ζητεῖν; εἶπε, τὸ πολλὰ καὶ δεινὰ τοῦ θεοῦ ἕνεκα παθεῖν. ἀξίωσον τὸν θεόν, ἔφη, τὴν αὐτὴν χάριν σοι χαρίσασθαι· τὸν γὰρ ταύτῃ εὐεργηθέντα ἄλλαις πολλαῖς εὐεργετεῖ, ταῖς ἐν τούτῳ συνεχομέναις. τοῦτο ἐδεῖτο, τούτου ἔτυχε, τοῦτο ἐδίδασκεν ὁ Ἰγνάτιος, ἐξ οὗ, ὁπόσον τὸν θεὸν ἠγάπησε, δῆλόν ἐστι. ἄλλα δὲ καὶ μείζω τεκμήρια, πρόχειρα ἔχομεν. ὁ γὰρ σκοπός, εἰς ὃν πᾶσαι πράξεις καὶ ἔννοιαι αὐτοῦ κατευθύνοντο, ἡ τοῦ θεοῦ μείζων δόξα ὑπῆρξεν. οὐ γὰρ ἤρκησεν αὐτῷ τὸ ἐν πᾶσιν ἔργοις αὐτοῦ τῷ θεῷ μὴ προσκροῦσαι, ἐὰν μὴ ἡ τιμὴ καὶ δόξα αὐτοῦ ἅμα αὐξηθῇ. καὶ ζητήσεως γινομένης περὶ δυοῖν ἀγαθῶν, πότερον αἱρετέον, τοῦτο ἀεὶ μείζονος ἐτίμα τε,

ἐν ᾧ

in quo maior cerneretur Dei gloria. Hic perpetuus illi scopus fuit, hoc omnibus in rebus vnum spectauit. Quare inter agendum cum Deo, hanc vocem ex intimo animi sensu frequentiùs promebat: *Domine quid volo, aut quid velle possum extra te?* Ad hæc tanto Dei videndi amore flagrabat atque ex hoc ergastulo corporis euolandi, vt cùm memoriam mortis repeteret, lacrymas cohibere non posset, quæ ab oculis animi gestientis alacritate manabant. Nec id ideo solum, vt sibi consequeretur supremum hoc beatitudinis bonum, sed etiam vt lucem sacratissimæ Christi humanitatis videret, cui sic intimè afficiebatur vt solet amicus, eius quem in corde & oculis gerit grata memoria delectari. Anno CIↃ.IↃ.XLI. mense Iulio, me præsente dixit, quòd si Deus alterum de his duobus eligendum proponeret, aut vt continuò de præsidio & statione vitæ decederet beatitudinem aditurus, aut in vita maneret, an in virtute perseueraret incertus, hoc secundum se potius alteri præpositurum, modò tamen certum & exploratum haberet, rem magnam, pro diuinæ illius maiestatis honore gesturum, solius Dei non sui ratione habita, nec vlla vel sui periculi, vel securitatis cogitatione proposita. Cuius rei hanc afferebat rationem:

Rex



ἐν ᾧ ἡ τοῦ θεοῦ μείζων δόξα ἐφαίνετο. αὕτη πρόθεσις αὐτῷ πάντοτε ἐγένετο, τούτου μόνου ἐν πᾶσιν ἐστοχάσατο. τῷ θεῷ τοίνυν ὁμιλῶν ταύτην τὴν φωνὴν ἐξ ὅλης τῆς ψυχῆς συχνότερον ἐφθέγξατο· κύριε, τί βούλομαι, ἢ τί βούλεσθαι δύναμαι, ἔξω σοῦ; πρὸς τούτοις τοσαύτη ἐπιθυμίᾳ, τοῦ τὸν θεὸν ὁρᾶν, καὶ ἐκ τῆς τοῦ σώματος φυλακῆς ἀποπλέσθαι, κατείχετο, ὥστε τῆς τελευτῆς μνημονεύων τὰ δάκρυα ἐπέχειν οὐκ ἠδύνατο, ἅπερ τῶν ὀφθαλμῶν τοῦ νοῦ προθυμουμένου ἐξέρρεεν. οὕτω δ' εἶχε μὴ μόνον ἵνα τοῦ ταύτης τῆς μακαριότητος ἀγαθοῦ ἄκρου ἐφίκηται, ἀλλὰ καὶ ἵνα τὸ τῆς ἱερωτάτης ἀνθρωπότητος φῶς τοῦ Χριστοῦ προσβλέψῃ, ᾧ τινι οὕτως ὅλῃ τῇ ψυχῇ προσεκολλήθη, ὥσπερ φίλος τῇ τοῦ σφόδρα ἠγαπημένου μνείᾳ ἥδιστα τέρπεσθαι εἴωθε. τῷ ἔτει ᾳφ' μα'. τῷ Ἰουλίῳ, ἐμοῦ παρόντος, εἶπεν, ὡς εἰ ὁ θεὸς αὐτῷ τὴν δυοῖν τούτων αἵρεσιν δοίη, ἢ τῆς μακαριότητος μεθέξοντα εὐθέως τὸν βίον μεταλλάξαι, ἢ, ἐπιζήσειν μὲν, ἀπορεῖν δὲ πότερον ἐν τῇ ἀρετῇ ἐμμενεῖ· τὸ δεύτερον ἂν ἕλοιτο, εἰ μόνον σαφῶς ἠπίστατο, ὡς μέγα τι ὑπὲρ τῆς τοῦ μεγίστου θεοῦ τιμῆς διαπράξεται, τοῦ μόνου τοῦ θεοῦ, ἀλλ' οὐχ ἑαυτοῦ λόγον ποιούμενος, καὶ μηδὲν περὶ τοῦ κινδύνου αὐτοῦ ἢ ἀσφαλείας σκοπῶν. τούτου δ' αἰτίαν ταύτην ἔδωκεν·

εἴ τις

Rex, inquit, aut Princeps aliquis reperiatur in terris, qui cuiuſpiam è ſua familia officium, magnis beneficijs remunerare velit, ſi ille hac Regis ſui gratia vti nollet ad tempus, vt interea pro eo res magnas obiret, nonne Dominum non modò hanc ſerui remunerationem conſeruare, ſed etiam amplificare oporteret, cùm hic ea ſeſe pro Domini ſui commodo & vtilitate priuaret. Quòd ſi hoc homines faciunt, quanto magis à Deo ſperare debeamus? aut quamobrem extimeſcamus, ne nos deſerat, aut aditum nobis ad felicitatem occludi patiatur, quia beatitudinem diſtulimus & eo frui in eius gratiam prætermiſimus? Perſuadeat hoc, inquit, ſibi qui volet, quod ad me attinet, nunquam in animum inducam, vt hoc de Deo optimo & Rege maximo, & ſuſceptorum pro ſe laborum memori cogitem. Aliàs in eam cogitationem venit, quonam modo affectus eſſet, ſi ad inferos impiorum & ſceleratorum regionem à Deo deturbaretur, eiuſque rei ſententiam ſuam retulit: ſic enim eſt in eo libello quem ſcripſit ipſe: Duo mihi proponebam, quorum alterum erat ſupplicium illud incendij quo flagrarem, alterum contumeliæ & conuitia, quibus impij Deum inſectantur. Ad primum quod attinet, ne pœnam quidem eam arbitrabar,



βασιλεὺς ἔφη, ἢ ἄρχων ἂν ἐπὶ τῆς γῆς εὑρίσκοιτο, ὑπὲρ τῆς ὑπηρεσίας τινὰ ἐκ τῆς οἰκίας ἀντευεργετῆσαι βουλόμενος, οὗτος δὲ ταύτης τῆς τοῦ βασιλέως αὐτοῦ χάριτος ἀπολαῦσαι ἐπὶ χρόνον οὐκ ἐθέλοι, τοῦ ἐν τῷ μεταξὺ ὑπὲρ αὐτοῦ μεγάλα διαπράττεσθαι, οὐχὶ ἔδει τὸν κύριον τούτῳ τὴν ἀνταπόδοσιν μὴ μόνον διατηρῆσαι, ἀλλὰ καὶ αὐξῆσαι, ἀνθ' ὧν οὗτος διὰ τὴν τοῦ κυρίου ὠφέλειαν καὶ ὄνησιν ἑαυτὸν ἐκείνης ἀπεστέρησεν. εἰ οὖν τοῦτο οἱ ἄνθρωποι ποιοῦσι, πόσῳ μᾶλλον ταὐτὸ παρὰ τοῦ θεοῦ ἐλπιστέον; ἢ διὰ τί ἂν ἐφοβούμεθα, μὴ ἡμᾶς καταλίπῃ, ἢ ἐάσῃ τὴν μακαριότητα ἡμῖν ἀποκλείεσθαι, ὅτι αὐτὴν ἀνεβαλόμεθα, καὶ αὐτοῦ δι' αὐτὸν ἀπολαύοντες διελίπομεν; πειθέσθω τοῦτο, εἶπεν, ὃς βουλήσεται· τὸ κατ' ἐμὲ, μηδέποτε πεισθήσομαι τοιοῦτον λογισμὸν περὶ τοῦ βελτίστου θεοῦ καὶ βασιλέως μεγίστου, καὶ τῶν ὑπὲρ αὐτοῦ ἐξαντληθέντων πόνων μνήμονος λαβεῖν. ἐνίοτε αὐτῷ ἐπῆλθε, πῶς ἂν διέκειτο, εἰς τὸν ᾅδην χώραν τῶν ἀσεβῶν καὶ ἀθεμίτων, καταβληθείς· καὶ οὕτω περὶ τούτου τὴν αὐτοῦ γνώμην ἀπεφήνατο, καθάπερ αὐτὸς ἐν βιβλιδίῳ ἔγραψε· δύο μοι ὑπετίθην, τὴν μὲν τιμωρίαν τοῦ ἐμπρησμοῦ, ᾧ ἂν ἠσθόμην, τὰς δὲ ὕβρεις καὶ βλασφημίας, ἃς οἱ ἀσεβεῖς κατὰ τοῦ θεοῦ ποιοῦνται. ὅσον μὲν πρὸς τὸ πρῶτον, οὐδὲ τιμωρίαν εἶναι ἡγού-

μην,

bat, ſiquidem occurrebat aliud multo maius cruciamentum, cùm audirem ſceleratos in ſanctiſſimum Dei nomen maledicta iactantes. Atque hæc eſt illius oratio. Quantus ergo Dei amor in illo ardebat, qui erga eum ſic erat affectus? quanta flamma charitatis illud pectus incendebat, cùm nec illa apud inferos torrentis incendij flumina illam poſſent exſtinguere, aut efficere, vt vllum cruciatum ſentiret in pœnis, ſed iniuriam ſolùm & offenſionem dilecti ſui?

## CAPVT XIIII.

*Amor Ignatij benignitaſque in proximum.*

DE hoc flagranti Dei amore ſuccendebantur faces amoris in proximos, propterea quòd illos in Deo, & in illis Deum conſideraret. Vnde dicebat, ſi ad animorũ ſalutem vel minimum pertineret, in publico nudis pedibus, ridiculis & probroſis rebus onuſtum incedere ſe paratiſſimum eſſe, nec vllum ſe quamuis vile, quamuis deforme & contemnendum veſtimenti genus recuſare, ſi quam animam eo indutus ad Deum poſſet adiungere. Lutetiæ homo meretricijs amoribus irretitus erat, quem fruſtra ſæpe conatus fuerat ab hac

mereri-



μίαν, ἐπειδὴ ἄλλη πολλῷ δεινοτέρα βάσανος ὑπῆλθέ μοι ἀκούοντι μιαρῶν εἰς τὸ ἁγιώτατον τοῦ θεοῦ ὄνομα βλασφημούντων. καὶ οὗτος αὐτοῦ λόγος ἐστί. πόση οὖν θεοφιλία ἐν τῷ οὕτω πρὸς θεὸν διακειμένῳ ἐκαίετο; πόση φλὸξ τῆς ἀγάπης ἐκείνην τὴν ψυχὴν ἐνέπρησθεν, ἐπειδὴ οὐδὲ οἱ τοῦ χειμάρρου τοῦ ἐν ᾅδῃ καιομένου ποταμοὶ αὐτὴν σβέσαι, ἢ διαπράξασθαι ἠδυνήθησαν, ὅπως βάσανόν τινα ἐν τῇ κολάσει αἴσθηται, ἀλλὰ μόνον τὴν ἀδικίαν καὶ πρόσκρουσμα τοῦ ἀγαπητοῦ αὐτοῦ.

## Κεφ. ιδ'.

Ἡ τοῦ Ιγνατίου ἀγάπη, καὶ εὐεργεσία πρὸς τὸν πλησίον.

ΕΚ ταύτης τῆς καιομένης θεοφιλίας ὑπεκκαύματα τῆς ἀγάπης τῆς πρὸς τὸν πλησίον ὑφήπτετο, καθ' ὧν αὐτοὺς ἐν τῷ θεῷ, καὶ ἐν αὐτοῖς τὸν θεὸν ἐσκόπει. διόπερ ἔλεγεν, ὡς, εἰ καὶ ἐλάχιστον εἰς τὴν τῶν ψυχῶν σωτηρίαν ἔτεινεν, ἑτοιμότατος ἐγίνετο, γυμνοποδῶν, καὶ γελοίοις καὶ ἐπονειδίστοις χρήμασι πεφορτισμένος δημοσίᾳ βαδίζειν, καὶ ὡς μηδὲν ἀμφίεσμα, ὁποσονοῦν ἂν εὐτελές, ἄμορφον καὶ εὐκαταφρόνητον ᾖ, παραιτεῖται, εἰ αὐτὸ ἐνδεδυμένος ψυχήν τινα τῷ θεῷ καταλλάττειν ἠδύνατο. ἐν Λουκοτικίᾳ ἄνθρωπός τις ἐν τῇ πορνείᾳ ἐνεπλέχθη, ὃν πολλάκις ταύτης τῆς ἑταιρικῆς συνηθείας

G ἀποσπᾷν

meretricia familiaritate diuellere: tandem aliquando in frigidissimum se lacum, viæ coniunctum, qua ille transiturus erat immersit: atque ad turpes delicias properantem magna contentione vocis appellauit; Perge miser deformes & obscœnas voluptates potiturus, Ego me hîc vsque eò frigore macerabo, quoad iustissimam pestem tibi desuper imminentem auertero. Obstupefactus ille & tam singulari charitatis exemplo perculsus, incitatum ad nefarios amores gradum reuocauit, & ex impura libidine cui seruiebat, emersit.

Hoc semper admodum diligenter ac studiosè cauit, ne maleficia maleficijs compensaret, sed vt de se male meritis bene mereretur, nec mala solùm beneficijs exæquaret, sed etiam obrueret. Cuiusdam benignitate pecuniam ad se missam studiorum nomine, contubernali suo custodiendam dederat, quam ille insigni perfidia auertit, ad seque transtulit, & Parisijs latenter erupit. Inde Rhotomagi cùm in grauem periculosumque morbum incidisset, quia satis exploratum habebat, qua charitate Pater esset, eum litteris invaletudinis suæ certiorem fecit, atque ad extremum, perinde ac si beneficio sibi obstrictus esset, rogauit, vti Rhotomagum celeriter aduolaret auxilio sibi futurus.





ἀποσπᾶν μάτην ἐσπούδασε· τελευταῖον εἰς ψυχροτάτην λίμνην ἐχομένην τῆς ὁδοῦ, δι' ἧς ἐκεῖνος ἔμελλε παρέρχεσθαι, εἰσδύς, τὸν πρὸς τὴν αἰσχρὰν τρυφὴν σπεύδοντα μεγάλῃ κραυγῇ προσεφώνησε· πορεύθητι ἄθλιε, τῶν αἰσχρῶν καὶ ἀσελγῶν ἡδονῶν σὺ ἀπολαύσων· ἐγὼ ἐνταῦθα ἐπὶ τοσοῦτον τῷδε ψύχει κακώσω με, ὅσον τὴν δικαιοτάτην τιμωρίαν σοι ἄνωθεν ἐπικειμένην σοῦ ἀποστραφῆναι. ἐκπλαγεὶς ἐκεῖνος, καὶ ἐξόχῳ τῆς ἀγάπης παραδείγματι ἐκθαμβήσας, ἐκ τοῦ βήματος πρὸς τὸν ἐναγῆ ἔρωτα ὁρμηθέντος ἐπαλινδρόμησε, καὶ τῆς ἀκαθάρτου ἀσελγείας, ᾗ ἐδούλευσεν, ἐξέδυ.

Σφόδρα δὲ καὶ ἐπιμελῶς ἀεὶ ἐφυλάξατο, ὅπως μὴ κακὸν ἀντὶ κακοῦ ἀποδῷ, μᾶλλον δὲ ὅπως τοὺς ἑαυτὸν κακῶς ποιήσαντας εὐεργετήσῃ, καὶ τὰ κακὰ μὴ μόνον τοῖς ἀγαθοῖς ἐξισώσῃ, ἀλλὰ καὶ ὑπερβάλῃ. χρήματα ὑπό τινος εὐεργέτου εἰς τὴν τῆς αὐτοῦ παιδείας δαπάνην πεμφθέντα ὁ Ἰγνάτιος τῷ συνοίκῳ αὐτοῦ ἐπίστευσεν, ὁ δὲ μεγάλῃ ἀπιστίᾳ αὐτὰ κλέψας ἰδιοποιήσατο, καὶ λάθρα ἐκ τῶν Παρισίων ἀφώρμησεν. εἶτα ἐν Ῥοτομάγῳ, χαλεπῷ καὶ κινδυνώδει νοσήματι περιπεσών, καὶ τὴν τοῦ πατρὸς φιλανθρωπίαν εὖ εἰδώς, τὴν αὐτοῦ ἀσθένειαν διὰ γραμμάτων αὐτῷ ἐγνώρισε, καὶ ἐπὶ τέλει, ὡς αὐτὸν εὖ ποιήσας, πολλὰ ἐδεήθη, εἰς Ῥοτόμαγον σπεύδοντα αὐτῷ ἐπικουρῆσαι.

Hic illico pro eius ſalute Deum religioſè precatus in viam ſe dedit, atque ad opem miſero ferendam Rhotomagum, quod Pariſijs triginta milliarijs abeſt, adijt incredibili animi magnitudine ac robore præditus, magnaque animi voluptate perfuſus. Et hoc quidem iter nudis pedibus triduo confecit, ita cibo ac potione vacuus, vt ne aquam quidem guſtaret, quò hiſce laboribus tanquam ſacrificio Deum placaret, & fraudatori ſuo ſalutem impetraret. Alius Lutetiæ multis ab eodem beneficijs affectus, malo ſpiritu afflatus & amens Ignatium è medio tollere decreuerat, cuius rei perficiendæ cauſſa, cùm gradus adſcendiſſet, hanc cœlo delapſam formidoloſam vocem audiuit: Infelix quid agis? qua voce contremuit timore perterritus, & flens ad ipſius ſe pedes abiecit, eique ſui conſilij prauitatem expoſuit; hic autem blanditijs hominem mœrentem deliniuit, iacentem erexit.

Hæc tamen tanta charitas & animi manſuetudo conſequi non potuit, vt hic idem in ea, de qua diximus, tempeſtate, quæ ante confirmationē Societatis poſtea Romæ commota eſt, non ipſum Patrem calumnijs mendacijſque oneraret, & inuidiæ faces ei ſubijceret. Poſteaquàm verò is iudicum ſententia iuſtas temeritatis

ſuæ



ἐκεῖνος δὲ παραχρῆμα ὑπὲρ τῆς αὐτοῦ ὑγιείας τὸν θεὸν εὐσεβῶς ἱκετεύσας τῆς ὁδοῦ ἥψατο, καὶ τοῦ βοηθῆσαι τῷ ταλαιπώρῳ, εἰς Ῥωτόμαγον τῆς Παρισίων τριάκοντα μίλια ἀπέχουσαν ἀπίστως μεγαλόψυχος ὑπάρξας, καὶ περιχαρῶς διατεθεὶς ἀφίκετο. καὶ ταύτην τὴν ὁδὸν τρισὶν ἡμέραις γυμνόπους ὢν ἐπορεύθη, οὕτως ἄσιτος καὶ ἄποτος, ὥστε μηδὲ τοῦ ὕδατος γεύσασθαι, ἵνα τούτοις τοῖς καμάτοις ὥσπερ θυσίᾳ τὸν θεὸν ἐξιλασάμενος τῷ ἀποστερητῇ αὐτοῦ τὴν ὑγίειαν ἀνύσηται. Ἄλλος τις ἐν Λευκοτεκίᾳ πολλὰ ἀγαθὰ ὑπ' αὐτοῦ παθών, ὑπὸ τοῦ κακοδαίμονος παροξυνθεὶς καὶ ἄνους, τὸν Ἰγνάτιον ἀναιρεῖν προείλετο. ἀναβὰς δὲ τὴν κλίμακα, τοῦ τοῦτο διαπράξασθαι, ταύτης τῆς φοβερᾶς φωνῆς οὐρανόθεν ἤκουσεν· ὦ ταλαίπωρε τί πράττεις; ἣ τινι φωνῇ ὁ μὲν διέτρεσεν ἐκφοβηθείς, καὶ μετὰ δακρύων πρὸς τοὺς πόδας αὐτοῦ πεσών, αὐτῷ τὴν κακοβουλίαν διηγήσατο, ὁ δὲ τὸν λυπούμενον καὶ ἀθυμοῦντα ἠπίως καταθέλξας ἀνέστησεν.

Ἀλλὰ μὴν τοσαύτη φιλανθρωπία καὶ πρᾳότης διαπράττεσθαι οὐκ ἠδυνήθη, ὅπως ὁ αὐτὸς ἐν τῷ προειρημένῳ χειμῶνι τῷ περὶ τοῦ τὴν ἑταιρείαν κυρωθῆναι, ἐν Ῥώμῃ ὕστερον γεγονότι, κατὰ τοῦ Ἰγνατίου λοιδορίαις καὶ ψεύδεσι χρησάμενος εἰς μῖσος αὐτὸν οὐ καταστήσῃ. ἐκείνου δέ, τῇ τῶν δικαστῶν ψήφῳ προσήκουσαν τιμωρίαν τῆς



κακουργ-

suæ pœnas luit, & tempestas sedata est, Pater, vt bene facta malè factis rependeret, rogatus eorum precibus, qui eam procellam excitarant, hominem in Societatem adscripsit, quamuis iusto Dei iudicio postmodum ab ea defecerit. Si talibus beneficijs alienos affecit, & à quibus in perniciem vocabatur, quid mirum si suos ijsdem prosequebatur? Cùm Pater quidam ex ijs nouem, quos Parisijs eduxerat, ita vehementer oppugnaretur à dæmone, vt eius salus ageretur, eum continuis precibus & lacrymis periculo liberauit, quibus inedia talis accessit, vt tres ipsos dies neque cibū, neque potionem gustaret. Alius quidam Pater, nescio qua in re, fræna disciplinæ laxarat, & cancellos rationis egressus, Patris animum ob damnum, quod in alium redundabat, graui mœrore molestiaq; contristauerat. Ille porrò de eo vindictā eiusmodi sumpsit: lacrymas effudit, Deumque suppliciter pro eius salute rogauit, atque inter sacrificandum ex intimo sensu clamauit: Ignosce illi Domine, nescit enim quid faciat. Alius non nemo è fratribus aliquando fastidire cœpit institutum vitæ suæ, illudque velle deserere. Cumque iam fixum & statutum haberet Deum fontem aquæ viuæ relinquere, cisternasque repetere, quæ aquas gratiæ continere non valēt,
sentiret.



κακουργίας ἀποτίσαντος, καὶ τοῦ χειμῶνος παυσαμένου, ὁ πατήρ, τοῦ τὰ ἀγαθὰ ἀντὶ κακῶν ἀποδοῦναι τῇ δεήσει τῶν ἐκείνην θύελλαν ἀνακινησάντων, τὸν ἄνθρωπον τῇ ἑταιρίᾳ προσέγραψεν, εἰ καὶ τῇ τοῦ θεοῦ δικαίᾳ κρίσει ὕστερον αὐτῆς ἀπέστη. ἐπειδὴ οὖν ὁ Ἰγνάτιος οὕτως εὐηργέτησεν τοὺς ἀλλοτρίους, καὶ τοὺς αὐτὸν ἀπολέσαι ἐπιχειρήσαντας, πῶς θαυμαστὸν εἰ παραπλησίως τοῖς αὐτοῦ προσεφέρετο; πατήρ τις ἐκ τῶν ἐννέα τῶν ἐκ τῆς Λουκητεκίας ὑπὸ τοῦ Ἰγνατίου ἐξηγμένων οὕτω σφόδρα ὑπὸ τοῦ κακοδαίμονος ἐπολεμεῖτο, ὥστε περὶ τῆς σωτηρίας κινδυνεῦσαι· τοῦτον ὁ Ἰγνάτιος συνεχέσι προσευχαῖς καὶ δακρύοις ἐλύτρωσε, σὺν τοιαύτῃ νηστείᾳ, ὥστε τρεῖς ἡμέρας μηδὲ βρώσεως, μηδὲ πόσεως γεύσασθαι. Ἄλλος τις πατήρ, οὐκ οἶδα, ἐν ᾧτινι πράγματι τὰς τῆς παιδείας ἡνίας αὐτῷ ἀνείς, καὶ τῶν κατὰ τὸν λόγον ἀμελήσας, τὴν τοῦ πατρὸς ψυχὴν διὰ τὴν βλάβην ἐπ' ἄλλον ἰοῦσαν, σφόδρα ἐλύπησεν. ὁ δὲ οὕτως αὐτὸν ἐξεδίκησε· μετὰ δακρύων τὸν θεὸν ὑπὲρ τοῦ σωθῆναι αὐτὸν ἱκέτευσε, καὶ μεταξὺ λειτουργῶν ἐξ ὅλης τῆς καρδίας ἐκέκραξε· σύγγνωθι αὐτῷ κύριε, οὐ γὰρ οἶδε τί ποιεῖ. ἄλλος τις ἐκ τῶν ἀδελφῶν πρὸς τὴν τοῦ βίου προαίρεσιν ἀηδίσασθαι ἀρξάμενος, αὐτῆς ἀφίστασθαι ἠβουλήθη. ὅτε δὲ ἤδη αὐτῷ δεδογμένον ἦν, ἐγκαταλιπεῖν τὸν θεὸν πηγὴν ὕδατος ζωῆς, καὶ πάλιν αἰτῆσαι λάκκους, οἳ οὐ δύνανται ὕδωρ τῆς χάριτος
συνέχειν.

ſentiretque Pater id ab inani metu profe-
ctum, quòd admiſſa quædam delicta con-
fiteri pudor vetaret, eum adiuit, & deſtina-
to conſilio deformitatem ipſe ſuperioris
vitæ ſuæ ei commemorare cœpit, quam
cæcus fuiſſet in vanitate cordis ſui, quan-
ta fluxarum rerum cupiditate irretitus, vt
ægro ſuperfluam hanc excuteret verecun-
diam, doceretque diuinæ miſericordiæ ac
bonitati confidere.

Quid dicam eius affabilitatem & co-
mitatem in omnes, in primis in eos qui in
eius erant poteſtate? quid de eorum ſalu-
te perpetuam ſollicitudinem & curam?
quid quanta lenitate indulgeret ignauis,
lapſos erigeret, mœrentes releuaret, timi-
dos excitaret, miſereretur naturæ vitio la-
borantium aut morbis? Etenim miraban-
tur omnes quanta ſollicitudine curaret
diligentem ægrotorum rationem haben-
dam: mihique dixit aliquando, ſe ſingula-
ri diuinæ prouidentiæ decreto infirmioris
valetudinis eſſe, vt ſuis ipſe doloribus, ali-
orum incommodis diſceret ope & com-
miſeratione ſuccurrere. Vicentiæ cum fe-
bri æſtuaret, renunciatum eſt illi P. Simo-
nem Rodriguez oppreſſum morbo decũ-
bere, & Baſſanæ (quod oppidum Vicen-
tia diei itinere diſiunctum eſt) de vita peri-
clitari: in viam ergo repentè ſe dedit cum

P. Fabro



συνέχειν, ὁ πατὴρ αἰσθόμενος, τοῦτο ἐκ κενοῦ φόβου
γενέσθαι, ὅτι αἰσχύνη ἁμαρτήματά τινα γενόμενα ἐξο-
μολογῆσαι ἐκώλυε, προσῆλθεν αὐτῷ, καὶ ἐξ ἐπιτη-
δὲς, τὴν τοῦ ἰδίου παρεληλυθότος βίου αἰσχρότητα
αὐτῷ διηγήσασθαι ἤρξατο, ὡς δήπου τυφλὸς ἐγένετο
ἐν τῇ ματαιότητι τῆς καρδίας αὐτοῦ, ἐν ὅσῃ ἐπιθυμίᾳ
τῶν προσκαίρων πραγμάτων ἐνεπλέχθη, ἵνα τὸν ἀ-
θυμοῦντα τῆς περιττῆς μερίμνης ἀπαλλάξας διδά-
ξῃ, τῷ τοῦ θεοῦ ἐλέει καὶ χρηστότητι πεποιθέναι.

Τί ἂν εἴποιμι περὶ τῆς εὐπροσηγορίας καὶ φιλο-
φροσύνης πρὸς ἅπαντας, μάλιστα δὲ πρὸς τοὺς
ὑπ' αὐτῷ γινομένους; τί περὶ τοῦ συνεχῶς ἐπι-
μελεῖσθαι καὶ φροντίζειν τῆς σωτηρίας αὐτῶν; τί
ὅσῃ πρᾳότητι τοῖς ὀκνηροῖς συνέγνω, τοὺς πεσόν-
τας ἀνέστησε, τοὺς λυπουμένους ἀνεκούφισε, τοὺς
μικροψύχους ἐθάρσυνε, τοὺς τῇ τῆς φύσεως κα-
κίᾳ, ἢ ταῖς νόσοις κακοπαθοῦντας ἐλέησε; πάντες
γὰρ ἐθαύμαζον, ὅτι περὶ τῆς τῶν νοσούντων ἀκρι-
βοῦς θεραπείας τοσαύτην ἐπιμέλειαν ἐποιήσατο.
κἀμοί ποτε ἔλεγεν, ὡς ἰδίᾳ τοῦ θεοῦ προνοίᾳ τὴν
ὑγείαν ἀσθενέστερός ἐστιν, ἵνα διὰ τῶν ἑαυτοῦ ἀλ-
γέων ταῖς τῶν ἄλλων κακοπαθείαις βοηθεῖν καὶ
συναχθέσθαι μάθῃ. αὐτῷ ἐν τῇ Οὐϊκέντῃ πυρέτ-
τοντι ἀπηγγέλθη, ὡς ὁ πατὴρ Σίμων Ροδέρικος
χαλεπῶς νοσῶν ἐν τῇ Βασσάνῃ (ἣ κωμόπολις
ἡμέρας ὁδὸν τῆς Οὐϊκέντης ἀπέχει) εἰς τὸν τοῦ
βίου κίνδυνον κατέστη· εὐθέως οὖν σὺν τῷ

 πατρὶ

P. Fabro ad eum visendum & consolandũ, ambulabatque, æger licet, tanta hilaritate & pedum mobilitate, vt P. Faber eum cõsequi vix posset. Alias P. Laynem iter cum eo facientem repentinus & acerbissimus dolor oppressit, quem vt inde leuaret Ignatius, denario, quem vnicum precario acceperat, equum conduxit, in eumque Laynem vili detritoque pallio suo inuolutum imposuit, antecedebat autem ipse tanta animi alacritate & celeritate pedũ, vt equus, sicut mihi Laynes narrauit, in eo consequendo laboraret.

Sed nulla re magis paternum amorem prodebat in filios, quam in eorum existimatione curanda, in spiritu virtutibusque progressu, delendisque sempiterna obliuione delictis, quæ vel humana imbecillitate, vel imprudentia committebant, si illa saltem agnoscerent, eorumque pœniteret, & aliquod specimen emendationis darent. Hac amabili & paterna lenitate aliisque generis eiusdem rapiebat animos suorum, & quamcunque volebat in partem impellebat, eosque ad arbitrium suum, & purum Dei amorem, in quo vera consistit perfectio, effingebat.

Verùm hic amor in filios, non debilis erat aut remissus, sed suauis æquè ac fortis. Neque magis benignus erat in modestos &

stos &



πατρὶ Φάβρῳ εἰς τὸ αὐτὸν σκέπτεσθαι καὶ παρακαλεῖν πορευθεὶς, τοσαύτῃ εὐθυμίᾳ καὶ τῶν ποδῶν ταχύτητι, καίπερ νοσερὸς ὢν, ἐβάδιζεν, ὥστε τὸν πατέρα Φάβρον αὐτῷ ἰσοβατῆσαι μόλις δυνηθῆναι. ἄλλοτε ὁ μὲν πατὴρ Λαΰνης συνοδοιπορῶν αὐτῷ, αἰφνιδίῳ καὶ πικροτάτῳ ἄλγει κατειλήφθη, ὁ δὲ Ἰγνάτιος, ὅπως αὐτὸν ἐξ ἐκείνης ἀναλάβῃ, ἵππον μισθωσάμενος δηναρίου, ὃ μόνον ἐπαιτηθὲν εἶχε, τὸν Λαΰνην τῷ ἱματίῳ αὐτοῦ εὐτελεῖ καὶ κατατριφθέντι ἐλυσθέντα ἐπάνω αὐτοῦ ἐπεκάθισε, καὶ αὐτὸς τοιαύτῃ προθυμίᾳ καὶ τῶν ποδῶν ὠκύτητι προήγαγεν, ὥστε ὁ ἵππος, καθάπερ ὁ Λαΰνης μοι ἔλεξεν, ἰσοβατῆσαι μόλις ἠδυνήθη.

Ἐν μηδενὶ δὲ πράγματι τὴν αὐτοῦ φιλοτεκνίαν μᾶλλον ἐπέδειξεν, ἢ ἐν τῷ τῆς εὐδοξίας αὐτῶν φροντίζειν, ἐν τῷ αὐξῆσαι τὴν αὐτῶν προκοπὴν τὴν ἐν τῷ πνεύματι καὶ ταῖς ἀρεταῖς· ἐν τῷ ἀϊδίως ἀμνημονεῖν τῶν παραπτωμάτων αὐτῶν, τῶν ἐκ τῆς ἀνθρωπίνης ἀσθενείας ἢ ἀβουλίας γινομένων, μόνον εἰ αὐτὰ ἔγνωσαν, καὶ μετανοοῦντες ἀπόδειξίν τινα τῆς ἐπανορθώσεως ἐποιήσαντο. ταύτῃ τῇ φιλητῇ καὶ πατρικῇ πραότητι καὶ ἄλλαις ὁμοίαις ἀρεταῖς πάντας ἀνηρπάσατο, καὶ εἰς ὅ, τι ἂν βούληται, παρώρμησεν, τὰς αὐτῶν ψυχὰς εἰς τὴν βούλησιν αὐτοῦ καὶ τὴν εἰλικρινῆ θεοφιλίαν, ἐν ᾗ ἀληθινὴ τελειότης κεῖται, χηματοποιούμενος. Αὕτη δὲ φιλοτεκνία οὐκ ἀσθενὴς ἢ πάρετος, ἀλλ᾽ ἡδεῖα καὶ ἰσχυρὰ ἐγένετο. καὶ οὐ μᾶλλον εὐμενὴς πρὸς τοὺς εὐτάκ-

τους &

stos & obsequentes; quam in superbos & contumaces seuerus. Ad hoc scilicet vnicè nitebatur, vt suos ad virtutem incitaret, beneque ad illud vitæ genus, quod profitebantur, animaret. Tractabat omnes vel remissè, vel grauiter, vnumquemque ad naturam suam accommodatè, semper tamen charitatis lege seruata. Tantaque industria lenitatem cum seueritate iungebat, vt tametsi suos omnes indifferentes in rebus agendis esse vellet, sine propensione in alteram partem; tamen cuiusque naturam perspiciebat, & quemque ad suam propensionem aptè regebat. Intelligebat enim quam laboriosum sit niti repugnante natura, nec quidquam violentum esse diuturnum. Atque hanc quidem *adiaphoriam* ita sartam tectam esse cupiebat, vt in ea quidem exigenda, religiosa seueritas, in altero verò præstando, paterna humanitas eluceret.

## CAPVT XV.

*Deuotio Ignatij, donumque lacrymarum, ac reliquarum eius virtutum enumeratio.*

EXitum historiæ nunquam inueniremus, si admirabilem B. Patris amorem persequi, reliquasque virtutes eius innumerabiles



τους καὶ εὐπειθεῖς, ἢ αὐστηρῶς πρὸς τοὺς ὑπερηφάνους καὶ ἀπειθεῖς διέκειτο. τούτου δ᾽ ἤπου μόνου ἐστοχάζετο, ἵνα τοὺς αὐτοῦ εἰς τὴν ἀρετὴν προτρέψῃ, καὶ πρὸς τὴν τοῦ βίου προαίρεσιν, ἣν ἐπηγγέλλοντο, θαρσύνῃ. πρὸς ἅπαντας ἠπίως ἢ σεμνῶς εἶχε, κατὰ τὴν ἑκάστου φύσιν, ἀλλ᾽ ὅμως τὸν τῆς ἀγάπης νόμον ἀεὶ διατηρήσας. οὕτω δὲ δεξιῶς τὴν πρᾳότητα τῇ αὐστηρότητι παρέμιξεν, ὥστε ἐν καὶ τοὺς αὐτοῦ πάντας ἐν τῷ πράττειν ἀδιαφοροῦντας ἐβούλετο ἄνευ τοῦ ἀποκλίνειν ἑτέρωσε, ὅμως τὴν φύσιν ἑκάστου σκοπῶν, ἑκάστῳ ἀκολούθως τῇ αὐτοῦ ἀποκλίσει, ἐπεστάτησεν. ἠπίστατο γὰρ ὡς ἐπίπονόν ἐστι, τῆς φύσεως ἐναντιουμένης, ὁρμᾶσθαι, καὶ μηδὲν βίαιον εἶναι πολυχρόνιον. καὶ τὴν δὲ τὴν ἀδιαφορίαν οὕτως ἀκέραιον εἶναι ἐπεπόθει, ὥστε ἐν τῷ μὲν αὐτὴν ἀπαιτεῖν, ἡ ἀσκητικὴ αὐστηρότης, ἐν τῷ δὲ ἕτερον ἐνδείκνυσθαι, ἡ πατρικὴ φιλανθρωπία ἐξέλαμπε.

## Κεφ. ιε.

Ἡ τοῦ Ἰγνατίου εὐλάβεια, τό, τε τῶν δακρύων δῶρον, καὶ ἡ τῶν λοιπῶν αὐτοῦ ἀρετῶν ἐξαρίθμησις.

ΤΟ τῆς ἱστορίας τέλος οὔποτε ἂν εὑρίσκομεν, εἰ τὴν θαυμαστὴν τοῦ μακαρίου πατρὸς ἀγάπην διέρχεσθαι, καὶ τὰς ἄλλας αὐτοῦ ἀρετὰς ἀναρίθ-

rabiles commemorare vellemus; plusquam humanam in constituenda hac Societate prudentiam, animi magnitudinem in suscipiendis rebus arduis, contrarijs aduersisque repellendis, mansuetudinem & comitatem in conciliandis animis eorum quibuscum agebat, flectendaque eorum qui sibi aduersabantur, voluntate. Quid dicam de incredibili eius vigilantia ac sollicitudine in rebus inchoatis ad exitum perducendis? non enim rationes & vias solùm efficaces ad agendum inuestigabat: sed institutum opus nunquam deserebat, nisi confectum & absolutum cerneret. Quid de singulari perpetuaque Dei fiducia? Sperabat enim eius patrocinium in carceribus, opem in laboribus, potentiam in rebus arduis, benignitatem in egestate, liberalitatem in alenda familia, quam sæpe mirabiliter sustentauit, spemque illius non fuisse vanam, manifestis nonnunquam Deus signis ostendit. Quid de eius modestia? quid de grauitate verborum? quid de coercenda temeritate alienas actiones condemnandi? quid quàm circunspectus in dicendis, vel audiendis alienis peccatis, tametsi publicis ac diuulgatis? quid de lenitate ac prudentia in abrumpendo sermone, qui vel minimam obstrependi occasionem daret? quid de ceteris

eius



ἀναριθμήτους λέγειν βουλοίμην· τὴν ἐν τῷ τὴν ἑταιρείαν καθιστάναι φρόνησιν μείζω ἢ κατὰ τὴν ἀνθρώπων φύσιν, τὴν μεγαλοψυχίαν ἐν τῷ ἐπιχειρεῖν τοῖς χαλεποῖς, καὶ ἀπωθεῖν τἀναντία καὶ δύσκολα, τὴν πρᾳότητα καὶ ἠπιότητα ἐν τῷ οἰκειοῦν, εἷς ἐπλησίαζε, καὶ μεταπείθειν τοὺς αὐτῷ ἀντιπραττομένους. τί ἂν εἴποιμι περὶ τῆς ἀνυπερβλήτου ἐπιμελείας καὶ μερίμνης ἐν τῷ τελεῖν, ἅπερ ἤρχετο; οὐ γὰρ μόνον ἐνεργεῖς τρόπους καὶ ὁδοὺς τοῦ πράττειν ἐξηρεύνησεν, ἀλλὰ καὶ τοῦ καταρχθέντος ἔργου οὐκ ἐπαύσατο, πρὸ τοῦ αὐτὸ ἀποτελεσθὲν ἰδεῖν. τί περὶ τῆς ἐξόχου καὶ συνεχοῦς πεποιθήσεως τῆς ἐν τῷ θεῷ; ἤλπισε γὰρ αὐτοῦ συνηγορίαν ἐν φυλακαῖς, βοήθειαν ἐν πόνοις, δύναμιν ἐν δεινοῖς, εὐεργεσίαν ἐν ἐνδείᾳ, ἐλευθεριότητα ἐν τῷ τρέφειν τὴν οἰκίαν, ἣν πολλάκις θαυμαστῶς ἐσίτησε, καὶ ταύτην τὴν ἐλπίδα αὐτοῦ οὐ ματαίαν γενέσθαι ὁ θεὸς ἐνίοτε ἐναργέσι σημείοις ἀπέδειξε. τί περὶ τῆς αὐτοῦ μετριότητος; τί περὶ τῆς δεινολογίας; τί περὶ τοῦ κατέχειν τὴν προπέτειαν τοῦ τὰς τῶν ἄλλων πράξεις ἀποδοκιμάζειν; τί ὡς πεφυλαγμένος ἐν τῷ λέγειν, ἢ ἀκούειν τὰ τῶν ἄλλων ἁμαρτήματα, καίπερ δημόσια καὶ περιβόητα; τί περὶ τῆς πρᾳότητος καὶ φρονήσεως ἐν τῷ διακόπτειν τὸν λόγον, ὃς ἂν καὶ ἐλαχίστην ἀφορμὴν τοῦ καταγογγύζειν παρεῖχε; τί περὶ τῶν ἄλλων ἀρετῶν

αὐτοῦ

eius virtutibus, ijsque adeo perfectis, vt si vnaquæque sola in eo fuisset, adeoque eminentibus, vt iudicare difficile sit, in qua magis excelleret. Sed his prætermissis ad eam veniamus, quæ reliquarum dux est & magistra, & veluti quidam aquæductus, vnde manant & fluunt in animam cælestia dona ac munera, orationem dico ac pietatem, & perpetuam cum Deo consuetudinem.

Confessus est ipsemet sese à Deo pietatis dono cumulatum fuisse, idque quadam animi demissione, infirmiori valetudini suæ attribuit, quòd iam inclinante ætate & ad morbos propensâ, vnam pietatem colere posset, nihil præterea. Sacerdotij dignitatem adeptus, inter sollemnes & diuinas precationes tanta cælitùs voluptate perfundebatur, tam vberes fundebat lacrymas, vt in singulis pænè verbis cogeretur insistere, precationes etiam Horarias frequenter interrumpere, quibus rebus factum est, vt in admittendorum luminum discrimen veniret.

In rebus grauioribus nihil vnquam decernebat, etiamsi decernendi probabiles rationes multæ suppeterent, nisi Deum precatus, ei negotium suppliciter commendasset.

Nulla diei hora dilabebatur, qua se non collige-



αὐτοῦ τῶν οὕτω τελείων γινομένων, ὥσπερ ἂν εἰ ἑκάστης μόνης αὐτῷ οὔσης, καὶ οὕτως ὑπερβαλλουσῶν, ὥστε χαλεπὸν εἶναι κρίνειν, ἐν τίνι μᾶλλον διήνεγκεν. ἀλλὰ ταῦτα παραλιπόντες ἐπανέλθωμεν ἐπὶ τὴν τῶν ἄλλων ἡγεμόνα, διδάσκαλόν τε, καὶ ὡς ὑδραγωγίαν οὖσαν, ἐξ ἧς τὰ οὐράνια δῶρα καὶ χάριτες εἰς τὴν ψυχὴν εἰσρέουσι, τὴν προσευχὴν λέγω καὶ εὐσέβειαν, καὶ συνεχῆ πρὸς τὸν θεὸν συνουσίαν.

Ἐξωμολόγησε μὲν αὐτὸς τὸν θεὸν τὸ τῆς εὐσεβείας δῶρον αὐτῷ παρεσχηκέναι, τοῦτο δ' ἐκ ταπεινοφροσύνης τῇ αὐτοῦ ἀρρωστίᾳ ἀνέθηκεν, ὡς, τῆς ἡλικίας ἤδη παρακμαζούσης, καὶ εἰς τὰς νόσους καταρρεπούσης οὔσης, περὶ μηδὲν ἄλλο, ἢ τὴν εὐσέβειαν σχολάζειν δυνάμενος. ἐπιτυχὼν δὲ τῆς τιμῆς τῆς ἱερατείας μεταξὺ τῶν προσευχῶν τῶν πρὸς τὸν θεὸν τεταγμένων, τοσαύτῃ ἡδονῇ οὐρανόθεν διεχύθη, καὶ οὕτως εὐπόρως ἐδάκρυεν, ὥστε σχεδὸν ἐν ἐπέχειν ἑκάστῳ ῥήματι, καὶ τὰς εὐχὰς τῶν ὡρῶν συχνῶς διαλύειν ἠναγκάσθη· διὸ τοῦ τοὺς ὀφθαλμοὺς ἀπολέσαι ἐκινδύνευσε.

Περὶ μειζόνων πραγμάτων οὔποτε οὐδὲν ἔγνω, καίπερ πολλῶν εὐλόγων αἰτιῶν παρουσῶν, εἰ μὴ τὸν θεὸν ἱκετεύσας αὐτῷ τὸ ἔργον συνέστησε.

Μηδεμία ὥρα τῆς ἡμέρας παρεληλύθει, ἢ ἐν

ἑαυτὸν

colligeret, omiſſiſque cęteris cogitationibus animum diſcuteret. Quòd ſi negotiũ paullò grauius eius orationem abrumperet, eam iacturam prima commoditate compenſabat, quamuis rebus exterioribus ita ſe nunquam commodaret, vt internam animi pietatem amitteret.

Intuebatur Deum præſentem in rebus omnibus, ijſque tanquam libris vtebatur, in quibus eius perfectionem legeret, & ad eum mentem erigeret. Quidquid videbat, inde ſalutaria vitæ documenta eruebat, affirmabatque hoc genus orationis vtiliſſimum eſſe ijs, qui officijs profanis exercentur.

Priuſquam ad orationem accederet, animum præparabat, & eius interiora ſcrutabatur, itaque ſeipſum incendebat, vt os ei inflammari & igneſcere quodammodo videretur, quod obſeruatum ſæpe à nobis eſt.

Sic attentus erat ad rem etiam minimam, vbi cum Deo agendum erat, adeoque in ea peragenda ſibi præſens, vt Dei maieſtatem coram intueri videretur; verbi gratia, cùm ſumendis epulis ſollemnem precationẽ adhiberet, vel ſumptis gratias ageret, & in alijs eiuſdem generis. Inter orandum aſſiduæ perennesque lacrymæ Dei munere fluebant ex oculis, ad quas accede-



ἑαυτὸν οὐ συνήγαγε, καὶ ἀφεὶς τοὺς λοιποὺς λογισμοὺς τὸν νοῦν ἐξήτασεν. εἰ δὲ πρᾶγμά τι μικρῷ δεινότερον τὴν προσευχὴν αὐτοῦ διέκοψε, ταύτην τὴν ζημίαν, ὅσον τάχιστα, αὐτίκα ἀντηλλάξατο, εἰ καὶ τοῖς ἔξω οὔποτε οὕτως ἐσχόλασεν, ὥστε τῆς ἔσω εὐσεβείας ἀποστερηθῆ.

Ἐν πᾶσι κτίσμασι τὸν θεὸν παρόντα ἑώρακεν, αὐτοῖς ὡς βιβλίοις χρώμενος, ἐν οἷς ἂν τὰς αὐτοῦ τελειότητας ἀνέγνω, καὶ πρὸς αὐτὸν τὴν διάνοιαν ἐπῆρεν. ὅ,τι οὖν ἔβλεψεν, ἐκεῖθεν τὰ τοῦ βίου σωτηριώδη διδάγματα λαβὼν, ἔλεγεν, ὡς τοῦτο τὸ εἶδος τῆς προσευχῆς τοῖς περὶ τὰς ἔξω ὑπηρεσίας ἀσχολουμένοις μάλιστα συμφέρει.

Πρὸ τοῦ εὔξασθαι, τὸν νοῦν ἡτοίμασε, τὰ αὐτοῦ ἐνδότατα ἐξερευνῶν, καὶ οὕτως ἑαυτὸν ἀνῆψεν, ὥστε ἡ ὄψις κατακαίεσθαι καὶ ἐκπυροῦσθαί πως, ὅπερ πολλάκις ἐπετηρήσαμεν.

Ὁπότε τῷ θεῷ πλησιάζειν ἔδει, τὸν νοῦν καὶ τῷ ἐλαχίστῳ πράγματι οὕτω προσεῖχε, καὶ ἐν τῷ αὐτὸ ἀποτελεῖν οὕτως ἑαυτὸν ἤγειρεν, ὡς τὴν τοῦ θεοῦ μεγαλειότητα ἐνώπιον εἰσορᾶν ἐδόκει, οἷον, πρὸ τοῦ φαγεῖν κατ' ἔθος εὐλογῶν, ἢ ὕστερον εὐχαριστῶν, καὶ ὁμοίως ἐν ἄλλοις. προσευχομένῳ δὲ αὐτῷ συνεχῶς ἐκ τῶν ὀφθαλμῶν, τῇ τοῦ θεοῦ χάριτι, τὰ δάκρυα

accedebat vt magna mentis alacritas, ita non modicum corporis detrimentum, quod tamen, ne animi fructum perderet, negligebat. Sed cùm & rationibus, & consilio medicorum persuasum haberet, quãtum illo continuo fletu valetudini suæ officeret, sic eius dominatum à Deo precibus impetrauit, vt arbitrio suo lacrymis habenas laxare, vel coërcere videretur, in eoque tantam accepit diuinæ miserationis gratiam, vt siccis oculis animus tamen maderet, & rationis imperio consumtis lacrymis earum tamen fructus hæreret. Nullo strepitu quamuis magno, turbabatur, vel ab oratione reuocabatur, siquidem nullam eius occasionem dedisset: minimo verò si in eo vitando antea fuisset incurius: ita vt non ipse strepitus eum, sed imprudentia in eo præuidendo aditumque præcludendo turbaret.

Interrogatus à P. Layne quam viam & rationem in orando seruaret, se non agere in rebus diuinis, sed agi patique respondit. Has enim voces vsurpant ij, qui de contemplatione tractant scriptores, eumque altissimum contemplationis gradum statuunt. Hinc videlicet vbi de Hierotheo magistro suo diuinus Dionysius Areopagita agit: *Erat,* inquit, *patiens diuina,* Sanctissimæ Virgini Mariæ secundum Deũ opt.



δάκρυα ἐξέρρευσεν, οἷς καθάπερ ὁ νοῦς παρωξύνετο, οὕτω τὸ σῶμα σφόδρα ἐζημιοῦτο, ἀλλὰ τούτου, ἵνα μὴ τῆς τοῦ νοῦ ὠφελείας ἀποστερηθῇ, ἠμέλησε. τοῖς δὲ λόγοις καὶ τῇ τῶν ἰατρῶν βουλῇ πεπεισμένος, ἐκ τούτου τοῦ διηνεκοῦς κλαυθμοῦ τῇ ὑγείᾳ αὐτοῦ πολλὴν ζημίαν γενέσθαι, τοιαύτης χάριτος τοῦ κρατεῖν τῶν δακρύων παρὰ τοῦ θεοῦ ἐπέτυχεν, ὥστε κατὰ τὴν αὐτοῦ γνώμην αὐτὰ ἀνιέναι, ἢ ἐπέχειν ἐδόκει, κἂν τούτῳ οὕτως ὑπὸ τοῦ θεοῦ ἠλεήθη, ὡς τῶν ὀφθαλμῶν ξηρῶν ὄντων, τὴν ψυχὴν βρέχεσθαι, καὶ τῶν δακρύων τῷ τοῦ λόγου κράτει ἀνηλωθέντων, τὸν καρπὸν αὐτῶν διαμένειν. μηδενὶ δούπῳ, καίπερ μεγάλῳ, ἐταράττετο, ἢ τῆς προσευχῆς ἀπετρέπετο, εἴγε μηδεμίαν αὐτοῦ ἀφορμὴν ἔδωκεν· ἐλαχίστῳ δέ, εἰ ἐν τῷ εὐλαβεῖσθαι αὐτὸν ἀμελῶς εἶχεν, οὕτως ὥστε οὐ μόνον τῷ δούπῳ, ἀλλὰ τῇ ἀσυνεσίᾳ ἐν τῷ προνοεῖν καὶ ἀπείργειν, αὐτὸν ἐνοχληθῆναι.

Ἐρωτηθεὶς ὑπὸ τοῦ πατρὸς Λαΐνου, τίνα τρόπον καὶ μέθοδον ἐν τῷ προσεύχεσθαι τηροίη, ἔφη, ἐν τοῖς τοῦ θεοῦ οὐ πράττειν, ἀλλ᾽ ἄγεσθαι καὶ πάσχειν. ταῖσδε γὰρ ταῖς φωναῖς οἱ τὰ τῆς θεωρίας συγγράψαντες χρῶνται, καὶ τοῦτον τὸν τῆς θεωρίας βαθμὸν ὑψηλότατον εἶναι γινώσκουσι. διὰ ταῦτα δὴ ὁ θεῖος Διονύσιος Ἀρεοπαγίτης περὶ τοῦ Ἱεροθέου τοῦ αὐτοῦ διδασκάλου γράψας ἔπαθεν, ἔφη, τὰ θεῖα. τῇ τῆς ἁγιωτάτης Μαρίας θεοτόκου παρθένου θεραπείᾳ μετὰ τὸν

θεὸν

opt. max. fuit addictus, cuius vt in perpetuum patrocinium se tradidit, ex quo lux cælestis ei primùm oborta est, ita fidem deinceps omnibus in rebus durioribus implorauit, vt mirum non sit, ab eius potentissima ac benignissima manu multa cum præclara beneficia accepisse, vt ex ijs quæ dicta, quæq; dicenda sunt, perspici potest.

## CAPVT XVI.

### *Diuina eius reuelationes, raptusque in Deum.*

SEd quid mirum tam studiosum orationis fuisse, cùm in ea sic Deo frueretur, vt in eius contemplationem penitus absorberetur, toties diuina quadam luce ac specie collustraretur? Nam cum primùm ex vulnere æger decumberet, antequam è sæculi vanitate ereptus ad Deum conuerteretur, idem Deus singulari beneficio, apostolum Petrum, vt diximus, ad eum sanandum misit, tum cùm in maximum salutis discrimen vocaretur.

Posteaquam verò ad Christi ductum se applicauisset, cùm infirmitas virium laboribus impar in mentem veniret, illustrissima supremaque Angelorum Regina ac Domina Filium sinu complexa, nocte quadam ei vigilanti videndam se præbuit, cum-



τοῦ θεοῦ βελτίστου καὶ μεγίστου λατρείαν παντελῶς προσέκειτο, ἧς τινος συνηγορίᾳ ὡς ἑαυτὸν πάντη τε ἐπέτρεψεν, ἐξ οὗ τὸ ἐπουράνιον φῶς αὐτῷ πρῶτον ἀνετείλατο, οὕτω τὸ λοιπὸν τὴν βοήθειαν ἐν πᾶσι δεινοῖς ἐπεκάλεσεν, ὡς οὐ θαυμαστὸν εἶναι, εἰ τῆς δυνατωτάτης καὶ ἐλευθεριωτάτης χειρὸς αὐτῆς πολλαὶ καὶ μεγάλαι εὐεργεσίαι εἰς αὐτὸν ὑπῆρξαν, καθὼς ἐκ τῶν προειρημένων καὶ ῥηθησομένων δῆλόν ἐστι.

## Κεφ. ιϛʹ.

### Αἱ θεῖαι ὁράσεις, καὶ ἐκστάσεις αὐτοῦ.

ΤΙ δὲ θαυμαστὸν, εἰ τοιαύτην σπουδὴν περὶ τὴν προσευχὴν ἐποιήσατο, ἐν αὐτῇ οὕτω τοῦ θεοῦ ἀπολαύσας, ὥστε εἰς τὴν αὐτοῦ θεωρίαν ὅλως καταποντισθῆναι, καὶ τοσάκις θείῳ τινὶ φωτὶ καὶ εἴδει ἐκλάμψαι; πρῶτον γὰρ αὐτοῦ, ὑπὸ τοῦ τραύματος, χαλεπῶς ἔχοντος, καὶ ἐν κλίνῃ κειμένου, πρὶν ἢ ἐκ τῆς τοῦ κόσμου ματαιότητος ἐξαιρεθεὶς πρὸς τὸν θεὸν ἐπεστράφη, ὁ αὐτὸς θεὸς ἐξόχῳ εὐεργεσίᾳ τὸν ἀπόστολον Πέτρον, ὡς εἴπομεν, πρὸς αὐτὸν ἐν μεγίστῳ κινδύνῳ τοῦ βίου τότε καθεστηκότα, εἰς τὸ ἰάσασθαι ἔπεμψεν.

Ἐπειδὴ δὲ αὐτῷ, τῷ Χριστῷ ἀκολουθεῖν προελομένῳ ἡ ἀσθένεια τοῖς πόνοις ἄνισος οὖσα ἐπῆλθεν, ἡ ἐπιφανεστάτη καὶ ἄκρα τῶν ἀγγέλων βασίλισσα καὶ δέσποινα τὸν υἱὸν ἀγκαλισαμένη αὐτῷ νυκτός ποτε ἐγρηγοροῦντι ἐφάνη, καὶ αὐ-

UNIVERS… GRANADA

eumque claritatis suæ splendore perfudit, dulcedine præsentiæ recreauit, confirmauitque, & cunctas turpium rerum imagines veluti spongiâ quadam, ex eius cogitatione deleuit.

Dum Minoressæ consisteret acerbissimę pœnitentiæ, de qua diximus, studio deditus, superatis vehementissimis oppugnationibus dæmonum, scrupulisque, quibus grauissimè angebatur, affuit ei Deus, eiusque diuinis solatijs mentem erexit. Cùm enim in gradibus ædis S. Dominici precationes in honorem B. Mariæ horarias recitaret, eius intelligendi vim tanto derepente lumine illustrauit, vt quandam ei sanctissimæ Trinitatis repræsentaret imaginem, quo veluti signo exteriori speciem illam explicaret, quam clariùs intelligendo conceperat: quæ res tanta eum consolatione permulsit, vt singultum & lacrymas continere non posset, nec quidquam libêret, nisi de hoc mysterio cogitare, vel dicere. Ad quod aperiendum tot afferebat similitudines & exempla, vt omnes audientes obstupescerent. Atque illud eius animo iam tum sic impressum atque inustum inhæsit, vt illico libellum de hac materia octoginta fere paginarum scribere sit aggressus, tametsi rudis adhuc & illiteratus nihil nisi elementa formare ac legere didicisset.





καὶ αὐτὸν τῇ αὐτῆς λαμπρότητι αὐγάσασα, τῇ τῆς παρουσίας ἡδύτητι ἀναψύξασά τε καὶ ἀναῤῥώσασα, πάσας τῶν αἰσχρῶν φαντασίας ἐκ τοῦ νοῦ αὐτοῦ ἀπεσπόγγισεν.

Ἐν Μινορέσῃ διατρίβοντι, καὶ τῇ πικροτάτῃ μετανοίᾳ, ὡς προείρηται, προσκειμένῳ, μεγίστων τε προσβολῶν τοῦ κακοδαίμονος, καὶ ἀπορειῶν, αἷς δεινότατα ἐλυπεῖτο, ἐπικρατήσαντι, ὁ θεὸς παρεγένετο, τῇ θείᾳ παραμυθίᾳ αὐτὸν ἐπεγείρας. ὅτε γὰρ ἐν τοῖς βαθμοῖς τοῦ ναοῦ τοῦ ἁγίου Δομινικοῦ τὴν ἀκολουθίαν τῆς ἁγίας Μαρίας καλουμένην ηὔξατο, τὸν νοῦν αὐτοῦ ἀφνιδίως οὕτως ἐφώτισεν, ὥστε τῆς ἁγιωτάτης Τριάδος εἶδός τι αὐτῷ ἐφάνη, ᾧ τινι ἂν ὥσπερ σημείῳ ἐξωτέρῳ αὐτὸ ἐδήλου, ὃ σαφέστερον νοήσας συνέλαβε. τοῦτο δὲ τοιαύτην παραμυθίαν αὐτῷ ἔφερεν, ὥστε τὸν στεναγμὸν καὶ τὰ δάκρυα ἐπέχειν οὐκ ἠδυνήθη, καὶ οὐδὲν φίλον ἦν, εἰ μὴ περὶ τούτου τοῦ μυστηρίου ἐννοῆσαι, ἢ εἰπεῖν. καὶ πρὸς τὸ τοῦτο φανερῶσαι τοσαύτας ὁμοιότητας καὶ παραδείγματα ἐπήγαγεν, ὥστε πάντας ἀκροατὰς θαυμάζειν. καὶ τοῦτο τῇ ψυχῇ αὐτοῦ οὕτω χαρακτηρισθὲν καὶ περιαφθὲν ἐνέφυ, ὡς παραυτίκα περὶ ταύτης τῆς ὑποθέσεως βιβλίδιον σχεδὸν ὀγδοήκοντα σελίδων συγγράψαι ἐπεχείρησεν, εἰ καὶ ἔτι ἰδιώτης καὶ ἀπαίδευτος ὤν, οὐδὲν ἄλλο, ἢ τὰ στοιχεῖα γράφειν καὶ ἀναγινώσκειν ἔμαθεν.

Ex eo tempore tantam intelligentiam ſanctiſſimæ Trinitatis, eſſentiæ diuinæ, diſtinctionis & proprietatis Perſonarum adeptus eſt, tam continuam, excellentem & abſtractam à ſenſibus, vt idem ipſe in autographo libello, qui poſt mortem eius repertus eſt, dicat, fieri non potuiſſe, vt vel multorum annorum ſtudijs parem conſequeretur: in alio item ſcriptum reliquerit, videri ſibi in hac vita maiorem ſe habere non poſſe, eâ, quam ſibi Deus in quadam viſione patefeciſſet. Iterum autem cum Minoreſſam rediſſet, viam & rationem magno animi ſui gaudio videre ſibi viſus eſt, quam Deus in fabricando mundo tenuiſſet.

Aliàs cùm ſacroſancto Sacrificio apud Dominicanos intereſſet, hoſtiaque ſacra tolleretur, oculis mentis clarè perſpexit, verè ſub figura panis Chriſtum verum Deum & hominem contineri. Inter orandũ frequentiùs & diutiùs iiſdem oculis ſacrã Chriſti ſeruatoris humanitatem vidit, nonnunquam ſacratiſſimam Virginem Mariam eius Matrem, non Minoreſſæ ſolùm, ſed etiam in agro Patauij ſuburbano, Hieroſolymis, alijſque locis compluribus. Egreſſus aliquando Minoreſſa ad orandũ in æde ſacra quarta milliarij parte à vico diſtante, cùm inter contemplandum Deũ





Ἐξ ἐκείνου ἐπέτυχε τοιαύτης γνώσεως, οὕτω συνεχοῦς, ὑπερόχου, καὶ τῶν αἰσθήσεων κεχωρισμένης οὔσης, περὶ τῆς ἁγιωτάτης Τριάδος, τῆς θείας οὐσίας, διαφορᾶς καὶ ἰδιότητος τῶν ὑποστάσεων, ὥστε τὸν αὐτὸν ἐν μικρῷ αὐτογράφῳ τῷ μετὰ τὴν τελευτὴν αὐτοῦ εὑρεθέντι, εἰπεῖν, ὡς οὐ δυνατὸν γέγονε, πολλῶν ἐτῶν σπουδῇ ἴσην νόησιν κτήσασθαι. ἐν ἄλλῳ ὁμοίως ἔγραψεν, ὡς δοκεῖ αὐτῷ, ἐν τῷ βίῳ τούτῳ οὐ μείζω ἐπιστήμην τῆς ἐν ὁράσει τινὶ ὑπὸ τοῦ θεοῦ αὐτῷ φανερωθείσης ἔχειν δυνηθῆναι. αὖθις δ' εἰς Μινόρεσσαν ἀναστρέψας τὸν τρόπον καὶ τὸν λόγον, ἐν ὁ θεὸς ἐν τῷ ποιῆσαι τὸν κόσμον ἐτήρησε, σὺν μεγάλῃ χαρᾷ τῆς ψυχῆς βλέπειν ἑαυτῷ ἔδοξεν.

Ἄλλοτε τῇ ἱερωτάτῃ λειτουργίᾳ πρὸς τοὺς τοῦ ἁγίου Δομινικοῦ παραγινόμενος, τοῦ ἁγίου ἱεροῦ θύματος ἐπαιρομένου, τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς σαφῶς ἑώρακεν ὑπὸ τῷ εἴδει τοῦ ἄρτου Χριστὸν τὸν ἀληθινὸν θεάνθρωπον ὄντως κατεχόμενον. μεταξὺ προσευχόμενος πλεονάκις καὶ μακρότερον, τοῖς αὐτοῖς ὀφθαλμοῖς τὴν ἱερὰν τοῦ Χριστοῦ σωτῆρος ἀνθρωπότητα, καὶ ἐνίοτε τὴν ἁγιωτάτην παρθένον Μαρίαν τὴν αὐτοῦ μητέρα ἔβλεψεν, οὐ μόνον ἐν τῇ Μινορέσσῃ, ἀλλὰ καὶ ἐν τῇ χώρᾳ τοῦ Παταυΐου, ἐν τοῖς Ἱεροσολύμοις, καὶ ἄλλοθι πολλαχοῦ. ἐξελθὼν δέ ποτε ἐκ τῆς Μινορέσσης τοῦ προσεύξασθαι, ἐν ἱερῷ τῷ τέταρτον μέρος μιλίου τῆς κώμης διέχοντι, καὶ ἐν τῷ θεωρεῖν τὸν θεὸν

alienaretur à sensibus, sedit in ripa fluuioli qui iter illud intersecat. Ibi oculis in præterfluentem coniectis aperti sunt ei oculi mentis, nouaque, & insitata luce illustrati, non eo modo quo speciem aut imaginem sub sensum cadentem videret, sed nobiliori ac sublimiori, quique sola mente percipi possit. Illuminatus hac luce, multa clarissimè perspexit, quæ sunt mysteriorū fidei & cognitionis scientiarum, ita vt res eædem, quas antea cognitione percepisset, aliæ postea diuersæque viderentur.

Et quidem sopor ille sensuum animique diuinitus illapsa suspensio, satis longa fuit atque diuturna. Sed illud mirabilius, quod ei Minoressæ adhuc agenti contigit. Nam die quodam sabbati sub horam completorij, officio sensuum ita distitutus fuit, vt mortuus à plerisque iudicaretur, fuissetque corpus sepulturæ mandatum, nisi animaduersum fuisset cor, quamuis leuiter, palpitare. Hæsit in hac alienatione sensuum vsque ad sabbatum insequentis hebdomadæ, eandemque completorij horam. Tum præsentibus ijs qui eum frequentes seruabant, oculos aperuit quasi è suauissimo gratissimoque somno excitatus, lenique atque amabili voce IESV nomen appellauit. Hæc ex ijs cognouimus





τῶν αἰσθήσεων ἐκστὰς, ἐν τῇ ὄχθῃ τοῦ ποταμίσκου τοῦ τὴν ὁδὸν ἐκείνην διατέμνοντος ἐκάθισεν. ἐκεῖ τῷ ὕδωρ παραρρέον ἀτενῶς ὁρῶντι οἱ τοῦ νοῦ ὀφθαλμοὶ ἀνεῳγμένοι νέῳ καὶ ἀήθει φωτὶ ἐφωτίσθησαν, οὐχ ὡς ἂν εἶδος ἢ εἰκόνα αἰσθητὴν ἔβλεπεν, ἀλλὰ τρόπῳ μᾶλλον περιέχοντι καὶ ὑψηλοτέρῳ τῷ μόνον τῇ διανοίᾳ καταλαμβάνεσθαι δυναμένῳ. οὕτω δὲ διαφωτισθεὶς πολλὰ τῶν μυστηρίων τῆς πίστεως, καὶ τῶν ἐπιστημῶν σαφέστατα ἔγνωκεν, ὥστε τὰ αὐτὰ πρότερον ἐγνωσμένα, ἄλλα καὶ διάφορα εἶναι ὕστερον δοκεῖν.

Καὶ αὕτη μὲν ἔκστασις, καὶ τοῦ νοῦ παρὰ τοῦ θεοῦ γινομένη ἔπαρσις πολὺν χρόνον διέμεινε. τοῦτο δὲ θαυμαστὸν, ὅ,τι αὐτῷ ἐν Μινορέσσῃ ἔτι διάγοντι συνέβη. ἡμέρᾳ γάρ τινι τοῦ Σαββάτου περὶ τὴν τοῦ ἀποδείπνου ὥραν, τοιαύτη ἔκστασις ἐπ' αὐτὸν ἐπέπεσεν, ὥστε ὑπὸ παμπόλλων ἀποθανεῖν ἐνομίσθη, καὶ τὸ σῶμα ἂν ἐτάφη, εἰ μὴ ἡ καρδία ὀλίγον ἀσπαίρουσα ἐγνωρίσθη. τῇδε δὴ ἐκστάσει κατείχετο ἕως τοῦ σαββάτου τῆς ἐπομένης ἑβδομάδος, καὶ τῆς αὐτῆς ὥρας τοῦ ἀποδείπνου. τότε, ἐναντίον πολλῶν τῶν αὐτὸν ἐπιτηρούντων, τοὺς ὀφθαλμοὺς, ὡς ἐξ ἡδίστου καὶ χαριεστάτου ὕπνου ἀνεγερθεὶς, ἀνέῳξε, μικρᾷ τε καὶ φιλητῇ φωνῇ τὸ τοῦ Ιησοῦ ὄνομα ἐπεκαλέσατο. καὶ ταῦτα, ἅμα μὲν παρὰ τῶν τὸ πρᾶγμα ἑωρακότων,

partim qui rem geſtam viderunt, partim qui ab ijs qui viderant, audiuerunt.

Singularis atque eximia fuit & illa ſpecies, quam ingreſſurus in vrbem Romam vidit, vt diximus, cum in ſacra quadam ædicula precanti Pater æternus ei ſe videndum exhibuit cum Filio humeris crucem ferente, atque hanc ſuauiſſimam vocem protulit: *Ego vobis Romæ propitius ero.* Cùm eſſet in monte Caſſino, vbi D. Benedictus vidit animam S. Germani Epiſcopi Capuani ab Angelis in cælum igneo in globo deduci, vt auctor eſt S. Gregorius, B. Pater animam Baccalaurei Hoſij ſocij ſui, quem Venetias itineris comitem habuerat, adſcendentem in cælum conſpexit eamque agnouit, qui & is quidem Patauij defunctus, vbi cum P. Ioanne Codurio verſabatur, ad feliciorem vitam migrauit.

Cùm idem P. Ioannes Codurius Romę deceſſit è vita, eo die quo memoria glorioſæ mortis B. Ioannis Baptiſtæ recolitur, anno CIƆ. IƆ. XLI. B. Pater paulo ante eius mortem, ad cœnobium S. Petri trans Tyberim in aureo monte, pro ægro ſacris operaturus conceſſerat; at ecce cum pontem Sixtinum tranſiret, vidit coruſcantem eius animam ſubuolantem in cælum, & ad comitem viæ P. Ioannem Baptiſtam Violam, (qui pòſt hoc ipſum mihi narrauit)



ἅμα καὶ παρὰ τῶν τοὺς ἑωρακότας, οἳ τότε παρεγένοντο, ἠκηκότων, ἐπυθόμεθα.

Πρὸς τούτοις, καὶ τόδε τὸ ὅραμα, ὃ εἰς τὴν Ῥώμην, ὡς εἴρηται, εἰσελευσόμενος εἶδεν, διάσημον καὶ ἐξαίρετον ὑπῆρξεν, ὅτε αὐτῷ ἐν ναϊδίῳ τινὶ προσευχομένῳ ὁ αἰώνιος πατὴρ μετὰ τοῦ υἱοῦ τὸν σταυρὸν ἐπὶ τῶν ὤμων βαστάζοντος ὀφθείς, ταύτην τὴν ἡδίστην φωνὴν εἶπεν· ἐγὼ ὑμῖν ἐν τῇ Ῥώμῃ ἵλεως ἔσομαι. ἐν τῷ ὄρει τῷ Κασσίνῳ διάγων, ὅπου ὁ ἅγιος Βενέδικτος τὴν ψυχὴν τοῦ ἁγίου Γερμανοῦ Καπύης ἐπισκόπου ὑπὸ τῶν ἀγγέλων εἰς τὸν οὐρανὸν ἐν πυρίνῃ σφαίρᾳ παραπεμπομένην εἶδε, καθὼς ὁ ἅγιος Γρηγόριος ἔγραψεν, ὁ Ἰγνάτιος τὴν ψυχὴν τοῦ Βακκαλαυρέου Ὁσίου ἑταίρου αὐτοῦ, τοῦ αὐτῷ εἰς τὰς Ἐνετίας βαδίζοντι συνοδοιπορήσαντος, εἰς τὸν οὐρανὸν ἀναβᾶσαν ἔβλεψε καὶ ἐπέγνω· ἀπέθανε δ' ἐν τῷ Παταυΐῳ, ὅπου τῷ πατρὶ Ἰωάννῃ Κοδουρίῳ συνδιαγαγὼν εἰς τὸν μακαριώτερον βίον ἀπῴκησε.

Τοῦ αὐτοῦ πατρὸς Ἰωάννου Κοδουρίου, ἐν τῇ τοῦ ἁγίου Ἰωάννου Βαπτιστοῦ ἀποκεφαλισθέντος ἑορτῇ, ἔτει α φ' μ α', τελευτήσαντος, ὁ μακάριος πατὴρ βραχὺ πρὸ τοῦ ἀποθανεῖν αὐτὸν, εἰς τὸ κοινόβιον τοῦ ἁγίου Πέτρου τοῦ πέραν Τιβέριδος ἐν ὄρει χρυσῷ λεγομένῳ, ἵνα ὑπὲρ τοῦ νοσοῦντος λειτουργήσῃ, ἐπορεύθη. ἰδοὺ δὲ τὴν τοῦ Σίξτου γέφυραν διαβὰς, τὴν ψυχὴν αὐτοῦ στιλπνὴν οὐρανόσε ἀναπτερωμένην εἶδε, καὶ πρὸς τὸν συνοδοιπόρον τὸν πατέρα Ἰωάννην Βαπτιστὴν Βιόλαν (τὸν ὕστερον ἐμοὶ τοῦτο διηγησάμε-

uit) conuersus: Hui, inquit, P. Ioannes Codurius efflauit animam. P. Leonardus Kesselius natione Belga vir in Societate nostra senex & sanctus fuit, & omnium iudicio talis. Eum ipse Coloniæ noui, vbi prima collegij nostri fundamenta iecit; quod deinde summa laude & sanctitatis gloria multis annis administrauit: Hunc ergo magnum quoddam & inusitatum desiderium cum teneret videndi potiundiq; colloquio B. P. Ignatij, litteras ad eum dedit, quibus petebat, vt sibi Colonia Romam pedibus ire liceret, plus trecentis milliarijs Gallicis inde distantem, tantummodo vt in eius aspectum sanctissimosque sermones veniret.

Respondit B. Pater eius præsentiam Coloniæ propter aliorum vtilitatem necessariam esse, propterea ne de statione decederet, Deum fortasse viâ magis facili & expeditâ sui videndi copiam daturum. Igitur die quadam P. Leonardo Coloniæ vigilanti apparuit viuus adhuc & spirans Beatus Ignatius, cum eoque satis longo sermone disseruit, post autem visione subtractâ hominem mirum in modum exultantem gaudio, reliquit, quod ei rem tam expetitam consequi tam admirabiliter contigisset. Ioannes Paschalis filius Agnetis Paschalis, quotidie





νον) ἐπιστραφεὶς, οἴμοι ὁ πατὴρ Ιωάννης Κοδούελος ἀπέθανε. πατὴρ Λεόναρδος Κεσσέλιος τὸ γένος Βέλγης ἐν τῇ ἑταιρίᾳ ἡμῶν, πρεσβύτης καὶ ἀνὴρ ἅγιος, ὡς πᾶσιν ἔδοξεν, ἐγένετο· ὃν ἐγὼ ἐν τῇ Κολωνίᾳ, ὅπου πρῶτον θεμέλιον τοῦ συλλόγου ἡμῶν κατεβάλετο, ὃν μετέπειτα σὺν μεγίστῳ ἐπαίνῳ καὶ τῆς ἁγιότητος δόξᾳ πολλὰ ἔτη διῴκησεν, ἐπέγνων· οὗτος οὖν πόθον τινὰ δεινὸν καὶ ἀήθη ἔχων τοῦ τὸν μακάριον Ιγνάτιον ἰδεῖν, καὶ συνομιλῆσαι αὐτῷ, ἐπιστολὴν πρὸς αὐτὸν πέμψας, ἠξίωσεν ἐξουσίαν τοῦ ἐκ τῆς Κολωνίας εἰς τὴν Ῥώμην τὴν πλείω τριακόσια μίλια κελτικὰ ἐκεῖθεν ἀπέχουσαν πεζεῦσαι, ὅπως μόνον τῆς ὄψεως, καὶ τῆς ἁγιωτάτης ὁμιλίας αὐτοῦ ἐπιτύχῃ.

Απεκρίθη δὲ ὁ μακάριος πατὴρ, ὡς ἡ αὐτοῦ παρουσία διὰ τὴν ἄλλων ὠφέλειαν ἐν τῇ Κολωνίᾳ ἀναγκαία ἐστὶ, διόπερ μὴ λειποτακτεῖν ἐκέλευσε, πεισθεὶς ὅτι ὁ θεὸς ἴσως ῥᾴονι καὶ εὐχειροτέρῳ τρόπῳ ἀφορμὴν τοῦ αὐτὸν ἰδεῖν παρασκευάζειν μέλλει. ἡμέρᾳ οὖν τινι τῷ πατρὶ Λεονάρδῳ ἐν τῇ Κολωνίᾳ ἐγρηγοροῦντι ἔτι μὲν ζῶν καὶ πνέων ὁ μακάριος Ιγνάτιος ὤφθη, πολὺν μὲν χρόνον συνομιλήσας, τῆς δὲ ὁράσεως ἀφαιρεθείσης, αὐτὸν καταλιπὼν ἀγαλλιαζόμενον, ὅτι ὧν σφόδρα ἐπεθύμησεν, οὕτως θαυμαστῶς ἐπέτυχεν. Ιωάννης Πασχάλιος ὁ τῆς Αγνῆς Πασχαλίας καθ' ἑκάστην

tidie primum ſacrum audire conſueuerat, quod Barcinone in ſacello B. Eulaliæ ſub ara principe maioris eccleſiæ fiebat: huic paucis annis à morte B. Pater ante eandẽ aram maximam aſtitit, quem vbi Paſchalis agnouit, ah Pater mi, inquit, volentemque propius accedere, B. Pater, indicio manus prohibuit, & ex oculis eius ſeſe repentè ſubduxit. Alia huius generis ſexcenta breuitatis cauſſa prætermittenda duximus. Sed quod magis in admirationem nos egit, qui eum noueramus, & eo familiariter vtebamur, illud eſt, cùm diuina in eum beneficia, quæ diximus, quotidiana eſſent & vſitata, vt ea quæ ſcripſit inter conſtituendas Societatis noſtræ leges, & quæ poſt eius mortem inuenta declarant, quòd nunquam tamen ex eius ore verbum vel viſionis, vel alienati à ſenſibus animi ceterarumque eiuſmodi rerum, niſi adeò rarò & parcè, vt nobis miraculi inſtar eſſet, exiiſſe cognouimus: è contrario verò demiſſionem animi, charitatem, patientiam, deſpicientiam ſuiipſius propter Dei gloriam, ſuſcipiendos pro ſalute animarũ labores, orationem, domandas libidines, appetitiones cohibendas, & ceteras eiuſmodi virtutes, vt magni ducebat, ita frequenti ſermone vſurpabat. His enim ſancti ſumus, & amicitiam cum Deo iungimus,



τῆς πρώτης λειτουργίας τῆς ἐν τῷ ναϊδίῳ τῆς ἁγίας Εὐλαλίας ὑπὸ τῷ ἄκρῳ βωμῷ τοῦ μεγίστου ἱεροῦ ἐν Βαρκινῶνι γινομένης ἀκούσαι εἰώθει· τούτῳ ὀλίγοις ἔτεσιν ὕστερον τῆς τελευτῆς, ὁ μακάριος πατὴρ ἐνώπιον τοῦ αὐτοῦ μεγίστου βωμοῦ παρέστη, ὃν ὁ Πασχάλιος γνωρίσας, ὦ πάτερ μου, ἔφη· ὁ δὲ μακάριος πατὴρ τὸν ἐγγύζειν βουλόμενον τῇ τῆς χειρὸς δείξει κωλύσας, ἐξαίφνης ἄφαντος ἐγένετο ἀπ' αὐτοῦ. Ἀλλὰ μυρία τούτοις ὅμοια, τοῦ συντόμως εἰπεῖν ἕνεκα, ἐκ προαιρέσεως παραλείπομεν. ὅ,τι δὲ ἡμεῖς αὐτὸν ἐπιγνόντες καὶ συνδιατρίψαντες μᾶλλον ἐθαυμάσαμεν, τοῦτο ἦν, ὡς, καίπερ τῶν τοῦ θεοῦ εὐεργεσιῶν, ἃς προείπομεν, ὁσημέραι καὶ εἰωθότως αὐτῷ γινομένων, καθάπερ τὰ ἐν τῷ θέσθαι αὐτὸν τοὺς νόμους τῆς ἑταιρείας ἡμῶν γραφθέντα, καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ εὑρεθέντα δηλοῖ, ὅμως περὶ τῆς ὁράσεως, ἢ ἐκστάσεως, ἢ τοιούτων ἄλλων μηδ' ἓν ῥῆμα οὐδέποτε αὐτὸν φθέγξασθαι ἐγνώκαμεν, εἰ μὴ οὕτω σπανίως καὶ φειδομένως, ὥστε ἡμῖν θαύματος δίκην εἶναι· ἐξεναντίας δὲ, ταπεινοφροσύνης, ἀγάπης, ὑπομονῆς, καταφρονήσεως τῆς ἑαυτοῦ διὰ τὴν τοῦ θεοῦ δόξαν, ἐπιχειρήσεως τῶν πόνων, τῶν ὑπὲρ τῆς τῶν ψυχῶν σωτηρίας, προσευχῆς, κρατήσεως τῶν ἐπιθυμιῶν, ἐποχῆς τῶν ὁρμῶν, καὶ ἄλλων τοιούτων ἀρετῶν, ἃς ὥσπερ περὶ πολλοῦ ἐποιήσατο, οὕτω συχνῶς ἐπεμνήσθη. ταῖς μὲν γὰρ ἅγιοί ἐσμεν, καὶ τὴν τοῦ θεοῦ φιλίαν κτώμεθα,

mus, illa verò quamuis in speciem subliniora nobilioraque sint, somnia sunt tamen, neque perpetua sanctitatis & diuinæ gratiæ argumenta.

## CAPVT XVII.

*Radij quidam sanctitatis è facie eius emicant, donoque prophetiæ ornatur.*

NEque verò huius B. Patris anima, tantùm cælesti luce, de qua diximus illustrabatur, verùm etiam aliquid ex eius lucis plenitudine sic redundabat in corpus, vt etiam nonnulli os eius luce refulgere, & ex eo radios emitti sæpe conspexerint. Hoc se vidisse Barcinone confirmauit. Elisabetha Rosella, cùm Pater, vt supra meminimus, in gradibus altaris sederet inter puerorum greges: hoc item Ioannes Paschalis filius Agnetis Paschalis, qui diu Patrem in eadem vrbe Barcinonensi domi suæ benignè fouit. Idem Loyolæ multi notarunt, cùm eò Lutetia redisset & ad hospitalem domum diuertisset: denique & Romæ. B. enim Philippus Nerius spectatæ vir sanctitatis, auctor Oratorij venerabilium sacerdotum B. Mariæ Vallicellæ, qui vrbi Romæ incredibiliter profuit, & quem probè noui, B. P. Ignatio coniunctissimus erat, ad eius consilium in dubijs rebus



θαι, τὰ δὲ, καίπερ τὸ εἶδος ὑψηλότερα καὶ εὐδοκιμώτερα ὄντα, ὅμως ἐνύπνια, καὶ οὐκ ἀεὶ βέβαια τῆς ἁγιότητος, καὶ τῆς τοῦ θεοῦ χάριτος τεκμήρια τυγχάνει.

## Κεφ. ιζ.

Ἀκτῖνές τινες τῆς ἁγιότητος ἐκ τῆς ὄψεως αὐτοῦ ἐκλάμπουσι, καὶ τῷ τῆς προφητείας δώρῳ κοσμεῖται.

ΟΥ μόνον δὲ ἡ τούτου μακαρίου πατρὸς ψυχὴ οὐρανόθεν, ὥσπερ εἴπομεν, διεφωτίσθη, ἀλλὰ καί τι ἐκ τῆς τούτου φωτὸς πληρώσεως οὕτως εἰς τὸ σῶμα διῆξεν, ὥστε ἐνίους καὶ τὴν ὄψιν αὐτοῦ ἀναλάμπουσαν καὶ ἀκτινοβολοῦσαν πολλάκις ἰδεῖν. τοῦτο ἐν Βαρκινῶνι ἑαυτὴν βλέψαι διεβεβαιώσατο ἡ Ἐλισάβηθα Ῥοσέλλη, ὅτε ὁ πατὴρ, καθὼς προείρηται, ἐν τοῖς τοῦ θυσιαστηρίου βαθμοῖς ἐν πλήθει τῶν παίδων ἐκάθητο· τοῦτο ὁμοίως εἶδεν Ἰωάννης Πασχάλιος υἱὸς τῆς Ἀγνῆς Πασχαλίας, ὁ πολὺν χρόνον τὸν πατέρα ἐν τῇ αὐτῇ πόλει τῆς Βαρκινῶνος οἴκοθι ἐλευθερίως ἀνέθρεψε. ταὐτὸ ἐν τῇ Λοϊώλῃ πολλοὶ κατενόησαν, τοῦ Ἰγνατίου ἐκεῖσε ἐκ Λουκοτεκίας ἀναστρέψαντος, καὶ εἰς τὸ ξενοδοχεῖον καταλύσαντος· τελευταῖον καὶ ἐν τῇ Ῥώμῃ. ὁ γὰρ μακάριος Φίλιππος Νέριος ἐπὶ τῇ ἁγιωσύνῃ ἀνὴρ εὐδόκιμος, ἀρχηγὸς τοῦ λεγομένου ὀρατωρίου τῶν αἰδεσίμων ἱερέων τῆς ἁγίας Μαρίας ἐν τῇ Βαλλικέλλῃ, ὁ τὴν Ῥώμην ἀπίστως ὠφελήσας, κἀμοὶ μάλ᾽ εὔγνωστος, τῷ δὲ μακαρίῳ πατρὶ Ἰγνατίῳ συνηθέστατος γενόμενος, πρὸς ὃν ὁ Νέριος

rebus confugere solitus, cuius & cum angeretur animo, vel solo recreabatur aspectu. Is ergo dictitabat, B. Ignatij caput quasi cælestibus quibusdam radijs coruscare solitum, ac totum esse luminosum. Summum diem obijt B. hic Pater septimo Kal. Iun. anno CIↃ. IↃ. XCV. quo die anniuersaria eius memoria à filijs celebratur. Sed illud commemoratione dignius, quod sibi accidisse testatus est Alexander Petronius in vrbe Roma celebris medicus, & B. N. Patris amantissimus. Cùm enim ille graui morbo laborans à B. Ignatio inuiseretur, ingresso eo in obscurum cubiculum & tenebricosum, clausis fenestris omnibus, nouo id derepente lumine refulsit. Miratus autem Alexander atque à coniuge sciscitatus vnde ea lux diffusa, repentè conualuit, beneficiumque recuperatæ valetudinis præsentiæ B. Patris attribuit. Ac tum quidem rem silentio pressit, simul tamen vt Pater hanc vitam meliore commutauit, eam sparsit in vulgus, quam ingens admiratio sanctitatis & fama B. viri est consecuta. Similiter & alibi sæpe visum hoc lumen naturam superans ex eius ore diffundi. Ioannes verò Paschalis frequenter eum Barcinone conspicatus tribus quatuorue palmis à terra sustolli, cùm diuinum numen oratione placaret ac diceret:



ἔχων, τοῦ συμβουλεύσασθαι αὐτῷ, καταφεύγειν εἴωθεν. ἀδημονίᾳ δὲ κατεχόμενος καὶ μόνῃ τῇ αὐτοῦ ὄψει ἑαυτὸν ἀνέλαβεν. οὗτος οὖν εἰπεῖν ἐφίλει, ὡς ἡ τοῦ μακαρίου Ἰγνατίου κεφαλὴ οὐρανίοις τισὶν ἀκτῖσι στίλβειν, καὶ ὅλη φεγγώδης εἶναι εἴωθεν. οὗτος δὲ μακάριος πατὴρ Νέελος τῇ κϛ΄. τοῦ Μαΐου τῷ ἔτει ‚αφ΄ϛε΄, τὸν βίον μετήλλαξεν, ἥτινι ἡμέρᾳ ἡ αὐτοῦ ἀνάμνησις ἐπετήσιος ὑπὸ τῶν υἱῶν ἄγεται. τούτου δὲ λόγου ἀξιώτερόν ἐστιν, ὅ,τι ὁ Ἀλέξανδρος Πετρώνιος ἐν τῇ Ῥώμῃ ἰατρὸς εὐδόκιμος, καὶ τοῦ μακαρίου πατρὸς ἡμῶν φίλτατος, ἑαυτῷ συμβῆναι ἐμαρτύρησε. τοῦ γὰρ μακαρίου Ἰγνατίου, ἵνα αὐτὸν δεινῶς νοσοῦντα ἐπισκοπήσῃ, εἰς τὸν κοιτῶνα σκοτεινὸν καὶ ἀμαυρὸν εἰσερχομένου, καὶ ἁπασῶν θυρίδων κεκλεισμένων, ἐξαίφνης αὐτὸς νέᾳ φωτὶ ἀπέλαμψε. θαυμάσας δὲ ὁ Ἀλέξανδρος, καὶ τῆς γυναικὸς πυθόμενος, πόθεν τὸ φῶς ἧξεν, ἀπροσδοκήτως ἀνέρρωσε, καὶ τὸ τῆς ἀναληφθείσης ὑγιείας εὐεργέτημα τῇ παρουσίᾳ τοῦ μακαρίου πατρὸς ἀνέθηκε. καὶ τότε μὲν τοῦτο ἐσιώπησε, τοῦ δὲ πατρὸς τὸν βίον εὐτυχῶς ἐκλιπόντος, παραχρῆμα τὴν φήμην περὶ τούτου κατεσκέδασεν· ὅθεν πολὺς θαυμασμὸς τῆς ἁγιότητος καὶ εὐδοξίας τοῦ μακαρίου ἀνδρὸς ἐγένετο. ὁμοίως δὲ ἄλλοθι πολλάκις τοῦτο τὸ φῶς ὑπερφυὲς ἐκ τοῦ προσώπου αὐτοῦ ἐκλάμψαν ὤφθη. ὁ δὲ Ἰωάννης Πασχάλιος πολλάκις αὐτὸν ἐν Βαρκινῶνι τρεῖς ἢ τέσσαρας σπιθαμὰς ἀπὸ τῆς γῆς ἐπαρθέντα ἑώρακεν, ὅτε τὸν θεὸν ἱλασκόμενος εἶπεν·

ceret: O Deus, ô Domine, ô si te homines nossent!

Nec minus à Deo prophetiæ donum accepit, & diuina luce perfusus multa antequam euenirent prædixit. Cùm Minoressa decessit Hierosolymam profecturus, Ioannes Paschalis tunc agens ætatis annum VIII. itineris comitem se præbuit, sed eum Pater redire iussit, matrique opem præstare: matrimonio iunctum iri prædixit, suscepturumque liberos, quorum caussa multis afficeretur incommodis, ad quæ patienter ferenda hortatus est: aliaque multa prænunciauit, quorum veritatem comprobauit euentus.

Cùm Parisijs venisset in Belgium, precariam pecuniam sustentandæ vitæ gratia, vt diximus, quæsiturus, & à quibusdam mercatoribus inuitatus Antuerpiæ cum ijs epularetur, adolescens quidam inter eos aderat modicùm seiunctus à cęteris, Petrus Quadratus nomine, Medinæ Campi natus; in quem coniectis oculis, iussit eum propius accedere. Cùm enim, aiebat, in posterum optimè is esset de Societate IESV meriturus, par esse, vt amicitiam iam tum coirent, seque magnopere Deo sciret obstrictum, quòd se ad constituendum olim Societati IESV collegium delegisset. Quod vt multis añis ante iacta Societatis funda-



εἶπεν· ὦ θεέ, ὦ κύριε, εἴθε σε οἱ ἄνθρωποι ἐγίνωσκον.

Οὐχ ἧττον δὲ παρὰ τοῦ θεοῦ τὸ δῶρον τῆς προφητείας ἐπιτυχών, καὶ οὐρανόθεν διαφωτισθείς, πολλὰ περὶ τῶν αὐτῶν γενέσθαι προεῖπεν. ἐκ Μινορέσης εἰς Ἱεροσόλυμα ἀποδημοῦντι ὁ Ἰωάννης Πασχάλιος τότε ἔτη ὀκτωκαίδεκα γεγονὼς συνωδοιπόρησεν, ἀλλ' αὐτὸν ὁ πατὴρ ἀναστρέφειν, καὶ τῇ μητρὶ βοηθεῖν ἐκέλευσε, προεξαγγέλλων, ὅτι μέλλει συνάπτειν γάμον, καὶ παῖδας ἀναιρεῖσθαι, καὶ δι' αὐτοὺς πολλὰ καὶ δεινὰ ὑπομένειν, πρὸς ἃ καρτερεῖν αὐτὸν παρεκάλεσε· καὶ ἄλλα πολλὰ ἐπροφήτευσεν, ὧν ἀλήθειαν τὸ συμβῆναι ἐβεβαίωσεν.

Αὐτοῦ ἐκ Παρισίων εἰς τὴν Βελγικὴν ἀφικομένου, εἰς τὸ τὰ πρὸς τὸν βίον ἀναγκαῖα χρήματα, ὡς προειρήκαμεν, ζητῆσαι, καὶ ἐν τῇ Ἀντουερπίᾳ ἐνίοις ἐμπόροις, τῇ αὐτῶν κλήσει, συνεστιωμένου, νέος τις παρῆν αὐτοῖς, ὀλίγον τῶν ἄλλων κεχωρισμένος, ὀνόματι Πέτρος Κουάδρατος Μεδινοκαμπαῖος, ᾧτινι ἀτενίσας, ἐγγύζειν ἐκέλευσεν. αὐτοῦ γάρ, ἔφη, μέλλοντος τὴν ἑταιρείαν Ἰησοῦ μεγάλως ὕστερον εὐεργετεῖν, εἰκός, ἀπὸ τοῦ νῦν φιλίαν πρὸς ἀλλήλους ποιεῖσθαι, καὶ ἰστέον αὐτῷ, ὅτι τῷ θεῷ μεγάλην χάριν ὀφείλει, ἀνθ' ὧν αὐτὸν εἰς τὸ τῇ ἑταιρείᾳ Ἰησοῦ ἐνίοτε σύλλογον καταστῆσαι ἐξελέξατο. τοῦτο δὲ ὡς πολλοῖς ἔτεσι πρότερον τοῦ θεμελιωθῆναι τὴν ἑταιρείαν προεῖπεν,

fundamenta prædixit, ita re ipſa veram prædictionem fuiſſe compertum eſt. Longo ſiquidem interuallo Petrus ille Quadratus & Domina Franciſca Manga coniux eius, Medinæ Campi Societatis collegium ædificarunt.

Cùm Vicentia profectus P. Simonem Baſſani vehementer ægrotantem comite P. Fabro inuiſeret, eo relicto deflexit è via, vt pro ægri ſalute Deo ſupplicaret, interea diuinitus intellexit illum ex eo morbo minimè moriturum, idque P. Fabro indicauit. Vt igitur ad ægrum peruenit, eum amplexus; Nihil metuendum, inquit, frater mi Simon, nec enim iam moriere: quibus dictis repentinò ſanitatem recuperauit, vt ipſemet magiſter Simon ſæpe teſtatus eſt, idque Faber P. Layni, Laynes autem mihi renunciauit. Baſſani quidam è ſocijs inſtitutum vitæ ſuæ in dubium reuocarat, iamque ſecum deliberabat ſatiusne foret viro cuidam in ſolitudine vitam agenti & innocentiæ laude præclaro familiaritate coniungi, animumque ad contemplationem applicare, an B. Patri adhærere, & animos proximorum iuuare. Cùm adiret ipſum ſolitarium hac de re conſilium capturus, formidoloſis quibuſdam viſis inter eundum territus ac perturbatus, domum, in qua Ignatius erat, regreſſus



πιν, οὕτω τὴν προφητείαν ἀληθῆ γενέσθαι δῆλόν ἐστι. συχνῷ γὰρ χρόνῳ ὕστερον ἐκεῖνος ὁ Πέτρος Κουάδρατος καὶ δέσποινα Φράγκισκα Μάγγα ἡ γυνὴ αὐτοῦ ἐν Μεδίνῃ Κάμπου σύλλογον τῆς ἑταιρίας ᾠκοδόμησαν.

Ἐκ τῆς Οὐικέντης ἀπελθὼν, τοῦ τὸν πατέρα Σίμωνα ἐν Βασσάνῳ χαλεπῶς ἀσθενοῦντα ἐπισκέψασθαι, συνοδοιποροῦντος τοῦ πατρὸς Φάβρου, τοῦτον καταλιπὼν ὀλίγον παρεξετρέπετο, ὅπως ὑπὲρ τοῦ ἐπιρρωσθῆναι τὸν νοσοῦντα τὸν θεὸν ἱκετεύσῃ· ἐν τῷ δὲ μεταξὺ θεόθεν ἔγνω, ὅτι ἐξ ἐκείνης τῆς νόσου μηδαμῶς ἀποθανεῖται, ὅ, τι καὶ τῷ πατρὶ Φάβρῳ ἐδήλωσε. παραγενόμενος οὖν τῷ ἀρρωστοῦντι, αὐτὸν περιβαλὼν, μὴ φοβοῦ, εἶπεν, ὦ Σίμων ἀδελφέ μου, οὐ γὰρ νυνὶ τελευτήσεις· τούτου ῥηθέντος ἐξαίφνης ἀνερρώθη, καθὼς ὁ αὐτὸς Μαΐστωρ Σίμων πολλάκις ἐμαρτύρησεν, ὅ, τι καὶ ὁ Φάβρος τῷ πατρὶ Λαΰνῃ, ὁ δὲ Λαΰνης ἐμοὶ ἐδήλωσεν.

Ἐν Βασσάνῳ εἷς ἐκ τῶν ἑταίρων περὶ τῆς τοῦ βίου προαιρέσεως ἀπόρως ἔχων, ἤδη ἐβουλεύετο, πότερον ἂν βέλτιον ἦν, ἀνδρί τινι ἐρημικῷ καὶ τῇ ἁγιότητι ἐνδόξῳ συνδιατρίβειν, καὶ τὸν νοῦν τῇ θεωρίᾳ προσέχειν, ἢ τῷ μακαρίῳ πατρὶ συζῶντα, τὰς τῶν πλησίον ψυχὰς ὠφελεῖν. ἐν τῷ δὲ προσέρχεσθαι τῷ ἐρημίτῃ τοῦ ὑπὲρ τούτου βουλεύσασθαι, φρικταῖς τισιν ὀπτασίαις ἐν τῇ ὁδῷ ἐκφοβηθεὶς καὶ ταραχθεὶς, εἰς τὸν οἶκον, ὅπου ὁ Ἰγνάτιος ἦν, ἀνέστρεψεν·

ſus eſt: qui lumine illuſtratus prophetico intimas illius cogitationes animaduertit, & Modicæ fidei, inquit, quare dubitaſti? Hac ille voce confirmatus, in cępto genere vitæ ad mortem vſque perſtitit. Anno CIↃ. IↃ. XLI. Stephanus Baroellus, natione Italus, inſtitutum Societatis Romæ complexus eſt, paucisque diebus adeo graui periculoſoq; morbo oppreſſus, vt de eius vita pæne eſſet à medicis deſperatum. Interim B. Pater ad D. Petri montis aurei ſe contulit, ſacrum pro illius ſalute facturus, quem de more comitatus ſum, eique rem diuinam facienti operam præſtiti. Sacrificio gratijsque Deo peractis, Stephanus, inquit Pater, non morietur nunc quidem, atque ille continuò releuari cœpit ex morbo. Tum profectus in Luſitaniam, atque inde in Italiam reuerſus, annos complures in Societate vixit, in eaque tandem religioſè & laudabiliter vitam expleuit. Doctor Arrouira Barcinonenſis, vir honoratus & nobilis, qui poſtea apud Philippum II. Hiſpaniarum Regem, pro ſua republica legatione functus, B. Patre familiariter, vt mihi dixit, vſus eſt. Hic cùm ab Ara Cæli veniret, obuiam Patri factus eſt cum litteris à Domino Franciſco Borgia, duce Gandię ad ſe miſſis, qui tum regnum Catalauniæ

pro



ψεν· ὃς τῷ τῆς προφητείας φωτὶ καταυγασθεὶς, καὶ τοὺς αὐτοῦ ἐνδοτάτους λογισμοὺς κατανοήσας, ὀλιγόπιστε, εἶπεν, εἰς τί ἐδίστασας; ταύτῃ τῇ φωνῇ αὐτὸς κραταιωθεὶς, τῇ τοῦ βίου προαιρέσει ἕως τῆς τελευτῆς ἐνέμεινε. τῷ τοῦ Χριστοῦ ἔτει α φ μ α, Στέφανος Βαρόελλος τὸ γένος Ἰταλὸς, τὴν τῆς ἑταιρίας πολιτείαν ἐν τῇ Ῥώμῃ προελόμενος, ὀλίγαις ἡμέραις νόσῳ οὕτω χαλεπῇ καὶ ἐπικινδύνῳ ἐλήφθη, ὥστε οἱ ἰατροὶ σχεδὸν τὴν σωτηρίαν αὐτοῦ ἀπέγνωσαν. ἐν τῷ μεταξὺ ὁ μακάριος πατὴρ εἰς τὸν ναὸν τοῦ ἁγίου Πέτρου τὸν ἐν τῷ χρυσῷ ὄρει κείμενον ἐπορεύθη, ὅπως ὑπὲρ τῆς αὐτοῦ σωτηρίας λειτουργήσῃ, ᾧ τινι ἐγὼ κατ᾽ ἔθος ἀκολουθήσας, καὶ λειτουργοῦντι διηκόνησα. τὴν δὲ λειτουργίαν τελέσας καὶ τῷ θεῷ εὐχαριστήσας, ὁ Στέφανος, ἔφη ὁ πατὴρ, νυνὶ οὐκ ἀποθανεῖται, καὶ αὐτὸς εὐθέως τοῦ νοσήματος ἀνακουφισθῆναι ἤρξατο. μετὰ ταῦτα εἰς τὴν Λουσιτανίαν πορευθεὶς, καὶ ἐκεῖθεν εἰς τὴν Ἰταλίαν ἀναστρέψας πολλὰ ἔτη ἐν τῇ ἑταιρίᾳ ἔζησε, καὶ ἐν αὐτῇ τελευταῖον εὐσεβῶς καὶ ἐπαινετῶς μετήλλαξεν. ὁ διδάσκαλος Ἀῤῥοβίρας Βαρκινώνιος, ἀνὴρ ἔνδοξος καὶ εὐγενὴς, ὁ ὕστερον πρὸς Φίλιππον τὸν δεύτερον τῆς Ἱσπανίας βασιλέα ὑπὲρ τῶν κοινῶν τῆς πόλεως αὐτοῦ πρεσβεύσας, τῷ μακαρίῳ πατρὶ, καθάπερ ἐμοὶ ἔλεξεν, οἰκείως ἐχρήσατο. οὗτος ἐκ τοῦ ναοῦ, ὃν οἱ Ῥωμαῖοι Αραν κοίλου, τουτέστι, βωμὸν οὐρανοῦ καλοῦσιν, ἐλθὼν τῷ πατρὶ ἐνέτυχε σὺν γράμμασι πρὸς αὐτὸν πεμφθεῖσιν ὑπὸ τοῦ κυρίου Φραγκίσκου

pro Rege gubernabat vxore etiam tum incolumi. Cùm de hiſce litteris inter ſe agerent, noris, inquit Pater, harum litterarum auctorem Romam olim venturum, vt Societati præponatur. Quæ quidem res tum demum eſt perfecta, cùm vxore defuncta, noſtræ Societatis inſtitutum profeſſus, poſteaquam multos annos generalis per Hiſpaniam Commiſſarius fuiſſet, tertius ei regendæ magiſter præpoſitus eſt, anno CIↃ. IↃ. LXV. poſtridie Kal. Iul. quo die Viſitationis Mariæ Virginis beata commemoratio celebratur. Affirmat idem Michael Arrouira ſe tum cùm eſſet admodũ adoleſcens, & incertus de genere vitæ, matrimonio tandem ſtatuiſſe coniungi, ſed antequam Patri conſilium aperuiſſet, quod ſermonibus differri nolebat, eum præoccupauit Pater: &, cogitas, inquit, vxorem!, ô quantos ſuſcipies gemitus! quantis exercebere laboribus! Quæ prædictio profecto veriſſima fuit: & ſicut ille mihi priuatim narrauit, ita præſente Epiſcopo Barcinonenſi teſtimonio iuratus aſſeruit.

Simul ac Agnes Paſchalis ceſſit è vita, Romæ de eius morte Pater certior factus eſt, vt eius ſalutem Deo commendaret: reſpondit ſe priuſquam ea de re litteras accepiſſet, eam mortuam ſciuiſſe, & eius animam



Βοργίου τοῦ Γανδίας ἄρχοντος, ὃς τότε τῆς Καταλανίας ἀντιβασιλεὺς ἐγένετο, τῆς γυναικὸς αὐτοῦ ἔτι σώας οὔσης. Διαλεγομένων δ᾽ αὐτῶν περὶ ἐκείνων τῶν γραμμάτων, εὖ ἴσθι, εἶπεν ὁ πατήρ, ὅτι ὁ ταῦτα γράψας ὕστερον χρόνων τούτων εἰς τὴν Ῥώμην ἐλεύσεται, τοῦ τῆς ἑταιρίας ἐπιστατῆσαι. ἐκεῖνο δὲ τότε ἐτελέσθη, ὅτε, τῆς γυναικὸς ἀποθανούσης, τὴν ἑταιρείαν ἡμῶν ἐπαγγειλάμενος καὶ πολλὰ ἔτη διὰ τῆς Ισπανίας γενικὸς ἐπίτροπος γενόμενος, τρίτος αὐτῆς Αρχιπροστάτης κατέστη, ἔτει αφ' ξέ, τῇ β', τοῦ Ιουλίου, ἐν ᾗ ἀνάμνησις τῆς ἐπισκέψεως τῆς παρθένου Μαρίας ἄγεται. Διαβεβαιοῦται ὁ αὐτὸς Μιχαὴλ Αρροβίερας, ὡς, ὅτι κομιδῇ νέος ὢν τῇ τοῦ βίου προαιρέσει ἠπόρει, ἐπὶ τέλει γαμῆσαι προείλετο, ἀλλὰ πρὸ τοῦ τὴν βουλὴν φανερωθῆναι τῷ πατρί, ἀνθ᾽ ὧν οὐκ ἤθελε διαφημίζεσθαι, ὁ πατὴρ αὐτὸν προφθάσας, γαμεῖν, ἔφη, προαιρεῖ. ὢ πόσον στενάξεις; πόσους πόνους ὑπομενεῖς; αὕτη δὴ ἡ πρόρρησις ἀληθεστάτη ὑπῆρξε, καὶ ὡς αὐτὸς κατ᾽ ἰδίαν ἐμοὶ ἐξηγήσατο, οὕτω, παρόντος τοῦ τῆς Βαρκινῶνος ἐπισκόπου, ὁμωμοκὼς ἐμαρτύρησεν.

Αμα ἡ Αγνὴ Πασχαλία τὸν βίον κατέλυσε, καὶ τοῦτο τῷ πατρὶ ἐν Ῥώμῃ ἐγνώρισαν, ὅπως τὴν αὐτῆς σωτηρίαν τῷ θεῷ συστήσῃ· ὁ δ᾽ ἀπεκρίθη, ὡς, πρὸ τοῦ τὰ γράμματα λαβεῖν, οἶδεν ὅτι ἀπέθανε, καὶ ἡ ψυχὴ αὐτῆς ἤδη

εἰς τὸν

mam iam in cælum receptam. Cùm P. Laynes Venetijs à Senatu contenderet, vt eius auctoritate veniremus in poſſeſſionẽ Prioratus S. Marię Magdalenæ vrbis Patauij, quem Paulus III. collegio Patauino adiunxerat, rem difficultate plenam, & cũ potentibus aduerſarijs gerendam vidit, cumque pæne rei perficiendæ ſpem abiecisset, B. Patrem litteris orauit, vt pro felici ſucceſſu Deo ſacrificium offerret, quòd humanam in eo nihil valituram ſperaret induſtriam. Pater igitur ſacris operatus eſt B. Mariæ Virginis natali die, Patrique Layni reſcripſit his verbis: *Feci quod poſtulaſti, ſecurus eſto, neue te res iſta conturbet, quin eam pro tuo deſiderio factam putes.* Vt ille ſcripſit, ita res voto parem exitum habuit. Nam diei B. Mariæ natalis octaua conuenit Senatus, & vno omnium pęne conſenſu nobis eſt addicta poſſeſſio, maximè mirantibus ijs, qui in illius reipublicæ ſtatu verſati ſunt. Inſuper vti P. Laynem ſibi in adminiſtratione ſucceſſurum prædixerat, ita ipſe eo mortuo ad gubernacula regendæ Societatis acceſſit. Anno CIↃ.IↃ.LV. Patres Hieronymum Natalem & Ludouicum Gonſalem de Camera, nauigaturos in Hiſpaniam iuſſit in nauem Genuæ ſine mora conſcendere, aſſeruitque ſecundis ventis vſuros, quod &

contigit



εἰς τὸν οὐρανὸν ἀνελήφθη ὁ πατὴρ Λαΰνης ἐν ταῖς Ἐνετίαις παρὰ τῆς συγκλείτου αἰτήσας τῇ αὐτοῦ αὐθεντίᾳ ἐγχειρισθῆναι ἡμῖν τὸ τῆς ἁγίας Μαγδαληνῆς λεγόμενον πριωρᾶτον, τὸ ἐν τῷ Παταυΐῳ, ὃν Παῦλος ὁ τρίτος τῷ συλλόγῳ τῷ ἐκεῖ προσένειμε, καὶ καταινοήσας, ὅτι τὸ μὲν πρᾶγμα χαλεπώτατον, οἱ δ' ἀντίδικοι, οἷς ἔδει αὐτὸν συμπλέκεσθαι, δυνατοὶ ἦσαν, ὥστε σχεδὸν τοῦ ἐντυχεῖν ἀπέγνω, διὰ γραμμάτων τὸν μακάριον πατέρα ἠξίωσεν, ἵνα ὑπὲρ τῆς εὐοδῶσαι λειτουργήσῃ, διότι φόβος ἦν, ὡς ἡ ἀνθρωπίνη πολυμηχανία οὐκ εὐτυχήσοι. λειτουργήσας οὖν ὁ πατὴρ ἐν τοῖς τῆς ἁγίας θεοτόκου Μαρίας γενεθλίοις, τῷ πατρὶ Λαΰνῃ ὧδε ἀντέγραψεν· Ἐποίησα, ὅ,τι ἐδεήθης, ἀμερίμνησον, καὶ τόδε σε μὴ διαταραξάτω, ἀλλὰ κατὰ τὴν βούλησίν σου ἀποτελεσθῆναι νόμισον. καὶ ὡς αὐτὸς ἔγραψεν, οὕτω πάντα προυχώρησε. τῇ γὰρ τῶν γενεθλίων τῆς ἁγίας Μαρίας ὀγδόῃ, συνελθούσης τῆς συγκλήτου, σχεδὸν μιᾷ τῶν πάντων γνώμῃ ἡ κτῆσις ἡμῖν ἐπεψηφίσθη, οὐκ ἄνευ μεγάλου θαυμασμοῦ τῶν τὴν ἐκείνην πολιτείαν διαγινωσκόντων. πρὸς τούτοις, ὡς προεῖπεν, ὅτι ὁ πατὴρ Λαΰνης τὴν τῆς ἑταιρείας διοίκησιν διαδέξεται, οὕτως αὐτὸς, τοῦ Ἰγνατίου ἀποθανόντος, εἰς τάξιν ἐκείνου κατεστάθη. τῷ ἔτει αφ' νε', τοὺς πατέρας Ἱερώνυμον Νατάλιον, καὶ Λουδόβικον Γονσάλην Καμαραῖον, εἰς τὴν Ἱσπανίαν ἀποπλεῖν μέλλοντας, ἐν τῇ Γενούᾳ εἰς τὴν ναῦν

I ἀμελλη-

contigit licet hyems esset maritimos cursus assueta præcludere. Collegio Germanorum extrema inopia sine spe rei melioris laborante, eius è sacro purpuratorum collegio patroni, penitus deijcientes animum, monuerunt Patrem, vt re tam desperata ab eius curatione desisteret; quibus ipse respondit, eam nullo modo curationem se velle deserere, venturum aliquando tempus, quo collegium rebus omnibus necessarijs esset instructum. Vaticinationi respondit euentus: nam ei Gregorius XIII. Pont. Max. optimè prospexit, perpetuosque prouentus attribuit. Eodem modo cum Romano Societatis Collegio actum est: cùm enim in eas coniectum esset angustias, vt inopia premeretur earum rerum, sine quibus vix, aut ne vix quidem hominum vita sustentatur, nec humana ratio ei consulendi succurreret, Deo supplicauit Pater, tum significauit quibusdam è Patribus, nihil opus esse vt quisquam angeretur, paucis mensibus Deum ei subsidio futurum, vt reuera fuit, & nonnunquam admirabiliter, quoad idem Gregorius honestis id pensionibus vtcunque stabiliuit. Alia generis eiusdem multa prædixit, quæ omnia sicut prænunciarat, euenerunt, sed ea, ne longior sim, volens libensque prætereo.





ἀμελλητὶ ἐμβαίνειν ἐκέλευσε, διαβεβαιωσάμενος ὡς εὐοδρομήσουσιν· ὅ,τι καὶ ἐκβέβηκε, καίπερ χειμῶνος τότε ὄντος, ὃς τὸν πλοῦν ἀποκλείειν εἴωθε. τοῦ συλλόγου Γερμανικοῦ εἰς ἐσχάτην ἀπορίαν καταστάθέντος, ἄνευ ἐλπίδος τοῦ εὐτυχεῖν, οἱ αὐτοῦ προστάται Καρδινάλιοι πάντως ἀθυμοῦντες, τὸν πατέρα ὑπέμνησαν, ζώτης τῆς ἐπιμελείας, τοῦ πράγματος οὕτως ἀνελπίστως ἔχοντος, παύσασθαι· οἷς ἐκεῖνος ἀπεκρίθη, ὅτι οὐδαμῶς ἐβούλετο τῆσδε φροντίδος λήγειν, ἀλλ' ἂν χρόνος ποτὲ ἥξει, ἐν ᾧ σύλλογος πάντων τοῦ βίου ἀναγκαίων εὐπορήσει· ἡ δὲ προφητεία τοῦ προχωρῆσαι οὐκ ἐξήμαρτεν. ὁ γὰρ Γρηγόριος τρισκαιδέκατος Πάπας τοῦ συλλόγου βέλτιστα προνοήσας ἀϊδίους προσόδους αὐτῷ ἀπέδωκεν. παραπλήσιον καὶ τὸ ἑταιρείας σύλλογος ὁ ἐν Ῥώμῃ πέπονθεν· αὐτοῦ γὰρ ἐν σπάνει τῶν ἐπιτηδείων ὄντος, ἄνευ ὧν ὁ βίος τῶν ἀνθρώπων μόγις ἢ μηδαμῶς ὑφίσταται, καὶ μηδενὸς τρόπου ἀνθρωπίνου τοῦ βοηθεῖν αὐτῷ ἐπιγοῦν ἐλθόντος, ὁ πατὴρ τὸν θεὸν ἱκετεύσας ἐνίοις τῶν πατέρων εἶπεν, ὡς οὐ δεῖ τινα μεριμνᾷν, διότι ὁ θεὸς ὀλίγοις μησὶ τῷ συλλόγῳ βοηθήσει, καθάπερ ὄντως συνέβη, καὶ ἐνίοτε θαυμαστῶς, μέχρις οὗ ὁ αὐτὸς Γρηγόριος ἐκεῖνον ἱκαναῖς προσόδοις ἐβεβαίωσεν. ἄλλα μὲν πολλὰ τούτοις ὅμοια προεῖπεν, ἅτινα κατὰ τὴν πρόρρησιν συνέβη, ἃ, τοῦ μὴ μακρολογεῖν, ἐκ προαιρέσεως παραλείπω.

## CAPVT XVIII.

*De miraculis diuinitus per eum factis, primumque de potestate eius in dæmones, tam in vita, quam post mortem.*

QVia verò postremo quinti libri capite de miraculis breuiter egimus, quasi nulla fecisset, aut ad demonstrandam eius sanctitatem necessaria non essent, statui nunc ea paullò fusius exponere, non omnia quidem (res enim nimis in longum excurreret) sed partem duntaxat eorum, quæ Deus efficere per seruum suũ dignatus est. Quamuis enim cùm anno CIƆ. IƆ. LXXII. primùm vitam eius latinè scriberem, alia nonnulla miracula ab eo facta nouissem: tamen adeo mihi certa & explorata non erant, vt in vulgus edenda mihi persuaderem: postea verò quæstionibus de eius in diuos relatione publicè habitis, grauibus & idoneis testibus fuerunt comprobata. Enim vero Deus, vt seruum suum extollat in terris, tam frequentibus eum in dies miraculis dignatur, vt mearum partium esse ducam, litteris hîc mandare nonnulla è publicis actionibus sumta, quas habuerunt complures Antistites, iuratis etiam eorum, quibus ipsa hæc admiranda contigerunt, aliorumque locupletissimorum & certissimorum testium testimonijs. Prætermis-



## Κεφ. ιη.

*Περὶ θαυμάτων ὑπὸ τοῦ θεοῦ δι' αὐτοῦ εἰργασμένων· καὶ πρῶτον περὶ τῆς αὐτοῦ ἐξουσίας κατὰ τῶν δαιμονίων, τὰ μὲν ἐν τῷ βίῳ, τὰ δὲ μετὰ τὴν τελευτήν.*

Ἐπειδὴ δ' ἐν τῷ τοῦ πέμπτου βιβλίου ἐσχάτῳ κεφαλαίῳ περὶ τῶν θαυμάτων συντόμως διήλθομεν, ὥσπερ ἂν εἰ μηδὲν εἰργάσατο, ἢ εἰς τὸ ἐπιδεῖξαι τὴν αὐτοῦ ἁγιότητα οὐκ ἀναγκαῖα ἐγένετο, προειλόμην νυνὶ αὐτὰ διὰ μακροτέρων ἐξηγήσασθαι, οὐ μὲν πάντα (τοῦτο γὰρ ἄγαν πολύεργον ἂν εἴη) μόνον δὲ μέρος τι ἐκείνων, ὧν ὁ θεὸς διὰ τοῦ δούλου αὐτοῦ ἀποτελέσαι ἠξίωσεν. καίτοι μὲν γὰρ τῷ ἔτει ᾳ φ' ο β', τὸν βίον αὐτοῦ πρῶτον συγγράψας Λατινιστὶ, ἄλλα τινὰ ὑπ' αὐτοῦ θαυματουργηθέντα διέγνων, ὅμως οὐχ οὕτω πρόδηλα καὶ σαφῆ ἦν, ὥστε ἐπείσθην εἰς τὸ φῶς ἐξενεγκεῖν· ἅ τινα δὲ ὕστερον, τῆς ἐξετάσεως περὶ τοῦ αὐτὸν τοῖς ἁγίοις συγκαταλέγειν, δημοσίᾳ γινομένης, τῇ τῶν ἀξιοχρέων καὶ πιστῶν μαρτυρίᾳ ἐβεβαιώθη. Ἀλλὰ μὴν ὁ θεὸς, ἵνα τὸν δοῦλον αὐτοῦ ἐπὶ τῆς γῆς μεγαλύνῃ, οὕτω συχνῶς καθ' ἑκάστην αὐτὸν τῶν θαυμάτων ἠξίωσεν, ὥστε ἐμὸν ἔργον ἐνόμιζον, ἔκ τε τῶν δημοσίων πράξεων, ἃς εἶχον πολλοὶ ἐπίσκοποι, καὶ ἐκ τῶν ἐνόρκων μαρτυριῶν τῶν τὰ τοιαῦτα θαύματα πεπονθότων, καὶ τῶν ἄλλων πιστοτάτων καὶ ἀψευδεστάτων μαρτύρων ληφθέντα τινὰ ἐνθάδε ἱστορῆσαι. ἀφέ-

permissis igitur ijs, quorum in eius vita mentionem fecimus, quæ multa magnaq; sunt, prædictionibus item alijsque præclaris Dei muneribus ac donis, miracula hîc pauca de multis afferamus, quæ Deus huius B. Patris supplicatione perfecit.

Primùm maxima pollebat potestate & auctoritate in dæmones, in quem etiam ingens odium conceperant, vt hostem infestissimum eum insectantes, quod & palam profitebantur. Nam Minoressæ cùm esset, iam tum diabolus quasi fulgore collucens & venustus ei apparere consueuerat, quoad cælesti lumine perfusus malũ dæmonem esse cognouit, cuius vnum studium erat, vt ipsum quoquo modo in fraudem induceret. Nec Minoressæ solum, sed etiam inter peregrinandum, & Parisijs & Romæ, sed adeo tetra ac deformi specie, vt per contemptum facilè tanquam ignauum ac languidum canem scipione pelleret. Conatus est autem ille nequam & improbus tum præsertim ei terrorem inijcere Compluti, cùm esset in hospitali domo Ludouici Antesanæ, sed frustra.

Romæ præterea secundum quietem eũ præfocare tentauit, & fauces eius ita oppressit; vt sanctissimum IESV nomen inclamare cogeretur, idque tanta contentione, vt multos post dies vox eius rauca per-



μένος οὖν τούτων, περὶ ὧν ἐν τῷ αὐτοῦ βίῳ ἐμνήσθημεν, ἅ τινα πολλὰ καὶ μεγάλα ἐστί, καὶ τῶν προφητειῶν καὶ ἄλλων ἐπισήμων χαρίτων καὶ δώρων τοῦ θεοῦ, ὀλίγα θαύματα ἐκ πολλῶν ἐροῦμεν, ἅπερ ὁ θεὸς τῇ τοῦ μακαρίου πατρὸς ἱκετείᾳ ἐξειργάσατο.

Πρῶτον μὲν μεγίστην δύναμιν καὶ ἐξουσίαν κατὰ τῶν δαιμονίων ἔλαβεν, οἷς πρὸς τὸν Ἰγνάτιον τοσαύτη ἀπέχθεια γέγονεν, ὡς αὐτὸν ὥσπερ ἐχθρὸν δυσμενέστατον ἐδίωξαν, ὅπερ καὶ δημοσίᾳ ὡμολογήσαντο. ἐν τῇ γὰρ Μινορέσσῃ διάγοντι ὁ διάβολος ὡς στίλβων καὶ εὐειδὴς αὐτῷ ὀφθῆναι εἴωθε, μέχρις οὗ οὐρανόθεν διαφωτισθεὶς τὸν κακοδαίμονα εἶναι ἐπέγνω, τὸν τοῦτο μόνον φροντίζοντα, ὅπως αὐτὸν τέχναις τισὶν ὅπῃ ἂν ἐξαπατήσῃ. καὶ οὐ μόνον ἐν Μινορέσσῃ, ἀλλὰ καὶ μεταξὺ ἀποδημίας, ἐν Παρισίοις καὶ ἐν Ῥώμῃ· οὕτω δὲ τὴν ὄψιν αἰσχρὸς καὶ ἄμορφος ἦν, ὥστε αὐτὸν διὰ καταφρονήσεως, ὥσπερ φαῦλον καὶ ἀσθενῆ κύνα σκίπωνι ῥᾳδίως ἀπῶσεν. ὁ δὲ πονηρὸς καὶ πανοῦργος ἐκεῖνος τότε μάλιστα φόβον αὐτῷ ἐμποιεῖν ἐπεχειρήσατο, ὅτε ἐν τῷ τοῦ Λουδοβίκου Αντεσάνου ξενοδοχείῳ τῷ ἐν Κομπλούτῳ διέτριψεν· ἀλλὰ μάτην.

Πρὸς τούτοις ἐν τῇ Ῥώμῃ αὐτὸν καθεύδοντα ἀποπνίξαι ἐπιχειρήσας τὴν φάρυγγα αὐτοῦ οὕτω κατεπίεσεν, ὥστε τὸ τοῦ Ἰησοῦ ἁγιώτατον ὄνομα ἐπικαλέσαι ἠναγκάσθη, καὶ ὑπὸ βίας γινομένης ἡ αὐτοῦ φωνὴ πολλαῖς ἡμέραις ταῖς ἐφεξῆς βραγχῶσα διετέλε-

permanſerit. Aliàs cùm iaceret in lectulo, cædebatur à ſpiritibus malis, frater vero quidam nomine Ioannes, natione Catalaunus, qui rem ſemel & iterum mihi narrauit, ſonitum quidem verberum audiuit, atque è lecto velut opem laturus ſurrexit, verùm ei nihil admodum nocere, Deo repugnante, potuerunt. Et illi quidem, quòd eriperet animas ex eorum vnguibus Ignatius, ringebantur, adeo vt palam ſæpe clamarent, hoſtem ſe non habere maiorem. Anno CIↃ. IↃ. XLI. me audiente dixit diabolus, qui adoleſcentem quendam nomine Matthæum affligebat, ne ſibi nominaretur Ignatius, quòd eſſet omnium inimicorum maximus. Idem Patauij dixit malo ſpiritu miles afflatus, & Drepani in Sicilia quædam mulier. Deniq; quanto Ignatium odio dæmones proſequebantur, tantas, tamque atroces in eum tempeſtates concitabant, vt inimicitias euidentiſſimè proderent quas cum illo gerebant, quas tamen omnes, Deo opitulante, vincebat.

Cùm Aſperitiæ moraretur in hoſpitali domo, mulier quartum iam annum ſpiritu nequam agitata, ad eum propter famam ſanctitatis eius adducta eſt, vt ſacris exorciſmis eam adigeret, proque eius ſalute Deum obſecraret. Ille ſe ſacerdotij non eſſe decoratum inſignibus magna animi





διετέλεσεν. ἐνίοτε ἐν κλίνῃ κείμενος ἐτύπτετο ὑπὸ τῶν κακῶν πνευμάτων, ἀδελφὸς δέ τις ὀνόματι Ἰωάννης τὸ γένος Καταλαύνιος, ὁ τὸ γενόμενον ἐμοὶ πλεονάκις ἐξηγησάμενος, τοῦ δούπου μὲν τῶν μαστίγων ἤκουσε, καὶ ἐκ τῆς κοίτης ἀνέστη, τοῦ αὐτῷ βοηθῆσαι, τοῦ δὲ θεοῦ αὐτοῖς ἀντιτασσομένου, ὀλίγον αὐτὸν βλάπτειν ἠδυνήθησαν. ἐκείνων σφόδρα ὀργιζομένων ὑπὲρ τοῦ τὸν Ἰγνάτιον ἐκ τῶν ὀνύχων αὐτῶν τὰς ψυχὰς ἐξαιρεῖσθαι, ὥστε πολλάκις φανερῶς ἐβόων, ὅτι ἐχθρὸν μείζω αὐτοῦ οὐκ εἶχον. τῷ ἔτει α φʹ μ α, ἐμοῦ ἀκούοντος, ὁ διάβολος νέον τινὰ ὀνόματι Ματθαῖον ἐνοχλῶν εἶπεν, ἵνα μὴ αὐτῷ ὁ Ἰγνάτιος ὀνομασθῇ, διότι πάντων ἔχθιστος ἦν. ταὐτὸ ἐν Παταυίῳ ἔλεγέ τις στρατιώτης δαιμονιζόμενος, καὶ γυνή τις ἐν Δρεπάνῳ τῆς Σικελίας. τελευταῖον, ὅσον οἱ κακοδαίμονες τὸν Ἰγνάτιον ἐμίσουν, τοσούτους δεινοὺς χειμῶνας κατ᾽ αὐτοῦ ἐξήγειρον, ὥστε σαφέστατα ἐνδείκνυσθαι τὴν ἀπέχθειαν τὴν πρὸς αὐτόν, ἧς πάσης ὅμως, τοῦ θεοῦ βοηθοῦντος, περιεγένετο.

Διάγοντος αὐτοῦ ἐν ξενοδοχείῳ τῆς πόλεως Ἀσπεριτίας, γυνή τις ἤδη τέσσαρα ἔτη δαιμονισθεῖσα, διὰ τὴν πολυθρύλλητον ἁγιότητα αὐτοῦ πρὸς αὐτὸν ἤχθη, τοῦ αὐτὴν ἱερῶς ἐξορκίζειν καὶ ὑπὲρ τῆς σωτηρίας αὐτῆς τὸν θεὸν ἀντιβολῆσαι. ὁ δὲ σὺν μεγάλῃ ταπεινοφροσύνῃ ἀπεκρίθη, ὡς τῆς ἐνδόξου ἱερατείας οὐκ ἐφίκετο, οὐδὲ τοσαύτη ἀξίᾳ

demiſſione reſpondit, nec exiſtere tanta in Deum ſua merita, ſuppliciter tamen pro ea rogaturum. Vt fidem ſuam liberauit, mulier ab infeſta dæmonis iactatione dimiſſa, omnique moleſtia liberata eſt. Romæ Matthæum illum adoleſcentem, in quem hoſtis communis humani generis atrociſſimam ſæuitiam exercebat, eius tyrannide ſolis ſermonibus & collocutionibus eripuit in cubiculum cum eodem incluſus: quem ego iuuenem tam calamitatis quam incolumitatis eius tempore probè noui. Et hic ad ſacram religioſorum familiam tandem aggregatus in ſolitaria domo Camaldoli, frater Baſilius cognominatus eſt.

Anno CIↃ. IↃ. LIIII. poſita ſunt fundamenta Lauretani collegij Societatis, cui regendo primus P. Oliuerius Manaræus præpoſitus fuit, qui adhuc apud Belgas in viuis eſt, vir admodum religioſus & pius, & in Societate ſua virtute celebris. Teſtatur ille, ſimul ac noſtri nouam domum incolere cœperunt, dæmones infeſtos fuiſſe, ſolitosque illos dies & noctes cuncta miſcere. Iam enim ſtrepitum excitabant, iam ſeſe obijciebant oculis vel Mauri, vel obſcœni canis vel felis, vel alius animalis ſpecie, neque noſtros de nocte ſomnum capere patiebantur: eumque ſacris operati fuiſſent,



αὐτοῦ παρὰ τῷ θεῷ ὑπάρχει· ὅμως ὑπὲρ αὐτῆς μέλλει προσεύξεσθαι. ἅμα τε τὴν ὑπόσχεσιν ἐπετέλεσε, καὶ ἡ γυνὴ τοῦ δεινοῦ δαιμονισμοῦ, καὶ πάσης ἐνοχλήσεως ἀπελύθη. ἐν τῇ Ῥώμῃ ἐκεῖνον τὸν νέον Ματθαῖον, ὃν ὁ κοινὸς ἐχθρὸς τοῦ ἀνθρωπίνου γένους δεινότατα ἐκάκου, τῆς τυραννίδος αὐτοῦ, μόνον τοῖς λόγοις καὶ ταῖς ἐντεύξεσιν, ἐλευθέρωσε, τῷ κοιτῶνι σὺν αὐτῷ ἐγκλεισθείς· ὃν νέον ὡς ταλαιπωροῦντα, οὕτως ὑγιαίνοντα καλῶς ἐπέγνων. κἀκεῖνος τῇ ἁγίᾳ τῶν ἀσκητῶν τάξει ἐν τῇ τοῦ Καμαλδόλου ἐρημίᾳ συναριθμηθείς, ἀδελφὸς Βασίλειος ἐπωνομάσθη.

Ἔτει αφʹ νδʹ, τὰ θεμέλια τοῦ τῆς ἑταιρείας συλλόγου τοῦ ἐν Λαυρήτῳ κατεβλήθη, ᾧ πρῶτον ἐπεστάθη πατὴρ Ὀλιβέριος Μαναραῖος, ὃ παρὰ τοῖς Βέλγαις ἔτι καὶ νῦν ζῶν, ἀνὴρ πάνυ εὐλαβὴς καὶ θεοσεβής, καὶ ἐν τῇ ἑταιρείᾳ, τῇ αὐτοῦ ἀρετῇ ὀνομαστὸς ὤν. μαρτυρεῖ αὐτὸς τοὺς κακοδαίμονας, ἅμα οἱ ἡμέτεροι τὴν νέαν οἰκίαν οἰκῆσαι ἤρξαντο, ὀχληροὺς γινομένους νυκτὸς καὶ ἡμέρας πάντα συνταράττειν εἰωθέναι· νυνὶ μὲν γὰρ ἐψόφουν, νυνὶ δὲ ὑπ' εἴδει Μαυρουσίου, ἢ αἰσχροῦ κυνός, ἢ αἰλούρου, ἢ ἄλλου ζώου τοῖς ὀφθαλμοῖς ὑπεβάλλοντο, καὶ οὐκ εἴων τοὺς ἡμετέρους τῆς νυκτὸς καθεύδειν· λειτουργησάντων δὲ

αὐτῶν.

fuissent, orationes, aquam lustralem, exorcismos, Diuorum reliquias, & alia id genus, frustra adhibuissent, idem P. Oliuerius de his B. P. Ignatium litteris certiorem fecit, atque eius fidem implorauit. Rescripsit ille, vt Dei bonitati confiderent, esse propediem ab ijs molestijs liberandos: ad se verò quod attineret, diuinum numen impensè oratione placaturum. Vt litteras accepit P. Oliuerius, mox domesticis omnibus conuocatis in communi cœtu eas recitauit, & ecce, dictu mirabile, iam tum omnia spectra, omnia dæmonum terricu-lamenta sic euanuerunt, vt in posterum nusquam apparerent eorum impressa vestigia. Atq; hæc quidem Patre nostro viuo adhuc & spirante contigerunt. Eo verò mortuo, cùm Drepani in Sicilia mulier agitata spiritu nequam sacris adiurationibus adigeretur, Ioannes à Vega Siciliæ Prorex accepto de eius morte nuncio, quamuis nondum emanasset in vulgus, ex ipsa quæri iussit, vbinam esset Pater Ignatius auctor Societatis IESV; respondit dæmon, inimicum suum corporis solutum ergastulo, ad auctores ac parentes aliorum Ordinum Dominicum & Franciscum in cælis aggregatum.

Anno CIↃ.IↃ.LXI. noui Senis in Italia puellam admodum probam & simplicem, Iacobam



αὐτῶν, καὶ ταῖς προσευχαῖς, τῷ ὕδατι καθαρσίῳ, τοῖς ἐξορκισμοῖς, καὶ τοῖς τῶν ἁγίων λειψάνοις, καὶ ἄλλοις τοιούτοις μάτην χρησαμένων, ὁ αὐτὸς πατὴρ Ολιβέριος ταῦτα τῷ μακαρίῳ πατρὶ Ιγνατίῳ γνωρίσας ἐδεήθη βοηθῆσαι. ἀντέγραψεν αὐτός· ὅπως τῇ τοῦ θεοῦ χρηστότητι πεποίθωσι, καὶ ὡς ἐν βραχεῖ τούτων τῶν ἐνοχλήσεων ἀπαλλαχθήσονται· ὅσον δὲ ἦν ἐφ' ἑαυτῷ, ὑπέσχετο τὸν θεὸν σπουδαίως τῇ προσευχῇ ἱλάσεσθαι. ἅμα τε ὁ πατὴρ Ολιβέριος τὰ γράμματα ἔλαβε, καὶ πάντας οἰκείους συγκαλέσας ἐν κοινῇ συνουσίᾳ ἐκεῖνα ἀνέγνω, καὶ ἰδοὺ, θαῦμα εἰπεῖν, πάντα φάσματα, πάντα τῶν δαιμονίων φόβητρα οὕτως ᾤχηται, ὥστε εἰς τὸ λοιπὸν μηδαμοῦ τὰ ἴχνη αὐτῶν ἐγνωρίζετο. καὶ ταῦτα μὲν τοῦ πατρὸς ἡμῶν ἔτι ζῶντος καὶ πνέοντος συνέβη. μετὰ δὲ τὴν τελευτὴν αὐτοῦ, γυναικός τινος ἐν Δρεπάνῳ τῆς Σικελίας ἐνεργουμένης, καὶ ἁγίως ἐξορκιζομένης, ὁ Ιωάννης Βεγαῖος τῆς Σικελίας ἀντιβασιλεὺς τὸν θάνατον αὐτοῦ πυθόμενος, καίπερ τῆς φήμης οὔπω διαδοθείσης, αὐτὴν ἐρωτηθῆναι ἐκέλευσεν, ὅπου ἂν πατὴρ Ιγνάτιος ὁ τῆς ἑταιρείας τοῦ Ιησοῦ ἀρχηγὸς ἦν; ὁ δὲ κακοδαίμων ἀπεκρίθη· ὡς ὁ ἐχθρὸς αὐτοῦ τῆς τοῦ θνητοῦ σώματος φυλακῆς ἀπολυθεὶς τοῖς ἀρχηγοῖς καὶ γονεῦσι τῶν ἄλλων τάξεων τῷ Δομινικῷ καὶ Φραγκίσκῳ ἐν τοῖς οὐρανοῖς ἐγκατελέχθη.

Ἔτει α φ' ξ α', ἐν τῇ Σήνῃ τῆς Ιταλίας ἐπέγνων νεανίδα τινὰ πάνυ ἀγαθὴν καὶ ἁπλῆν ὀνόματι Ιακώ-

Iacobam Prati nomine, pedissequam nobilis matronæ cuiusdam, quæ erat Archiepiscopi eiusdem ciuitatis amita. In hanc admodum dæmones erant infesti, ei se videndos varijs figuris exhibebant, eam mira crudelitate cædebant. Duodecim annis in ea calamitate versata est: vt verò B. Patris imaginem gestare cœpit, spiritus impuri quamuis oculis conspicerentur, & hunc esse magnis clamoribus inimicum suum testarentur, imaginem abijcere iuberent, eò tamen audaciæ nunquam venerunt, vt ad eam vel accederent, aut attingerent. Verùm cùm obijceretur imago eorum adspectibus, demittebant oculos, aiebantque rem adeò sceleratam & impiam sese videre non posse. Ac licet eos irritaret puella, licet ad se percutiendam voce lacesseret, quandiu tamen imaginem secum habuit, verberibus eam appetere nunquam sunt ausi. Cùm autem curiosiùs experiri vellet, an hic dæmonum timor ab imagine B. Patris, an aliunde proficisceretur, eam seposuit, & ecce continuò dæmones in eam impetu facto tanta atrocitate verberarũt, vt velut mortuam reliquerint.

Hoc incommodo suo periclitata, statuit in posterum hanc imaginem nunquam deponere, qua velut clypeo tuta esset, adeoque formidolosa dæmonibus: qui cùm

illam



Ἰακώβην Πρατίαν, ἀκόλουθον οὖσαν εὐγενοῦς τινος οἰκοδεσποίνης, τῆς πατραδέλφης τοῦ Ἀρχιεπισκόπου τῆς αὐτῆς πόλεως. ταύτην οἱ κακοδαίμονες σφόδρα ἐνέκειν, αὐτῇ ἐν διαφόροις σχήμασι φαινόμενοι, καὶ πάνυ ὠμῶς αὐτὴν συγκόπτοντες. καὶ ἔτεσι μὲν δώδεκα οὕτω κακοπαθοῦσα διετέλεσεν· ὅτε δὲ τὴν Ἰγνατίου μακαρίου πατρὸς εἰκόνα βαστάζειν ἤρξατο, τὰ ἀκάθαρτα πνεύματα, εἰ καὶ τοῖς ὀφθαλμοῖς ὁραθέντα, καὶ τοῦτον τῶν αὐτῶν ἐχθρὸν εἶναι μεγάλαις κραυγαῖς μαρτυροῦντα, ἐκέλευσαν τὴν εἰκόνα ἀποβαλεῖν, ὅμως εἰς τοῦτο τόλμης οὔποτε ἐληλήθασιν, ὥστε αὐτῇ προσελθεῖν, ἢ ἅψασθαι. τῆς δ' εἰκόνος τοῖς αὐτῶν ὀφθαλμοῖς ὑποβληθείσης, ἐκατήφησαν, λέγοντες, ὡς χρῆμα οὕτω μιαρὸν καὶ ἀνόσιον εἰσορᾶν οὐκ ἠδύναντο. καίτοι δὲ ἡ παιδίσκη αὐτὰ παροργιζομένη εἰς τὸ αὐτὴν τύπτειν τῇ φωνῇ προὐκάλει, ὅμως μέχρις οὗ τὴν εἰκόνα ἐκόμισε, πληγὰς αὐτῇ ἐντεῖναι οὔποτε ἐτόλμησαν. περιέργως δὲ πεῖραν λαμβάνειν ἐθέλουσα, πότερον οὗτος ὁ τῶν διαβόλων φόβος ἐκ τῆς τοῦ μακαρίου πατρὸς εἰκόνος, ἢ ἄλλοθεν ἐγένετο, αὐτὴν ἀπέθη, καὶ ἰδοὺ παραυτίκα οἱ κακοδαίμονες αὐτῇ ἐφορμήσαντες οὕτως ἀπηνῶς ἔπαισαν, ὥστε ὡς θανοῦσαν καταλιπεῖν.

Ταύτῃ οὖν τῇ αὐτῆς βλάβῃ διδαχθεῖσα τὴν εἰκόνα μηδέποτε ὕστερον ἀποθεῖναι προείλετο, ἣν τινι ἄν, ὡς ἀσπίδι, ἀσφαλῶς εἶχε, τοῖς κακοδαίμοσι φοβερὰν τυγχάνουσαν· οἵ τινες

αὐτὴν

illam ferire non possent, feriebant parietes cubiculi ad cistas & qualos. Nec illud absimile, quod Anconæ anno CIↃ. IↃ. XCIX. cuidam ludimagistro contigit. Hic auditis domi suæ lemuribus, qui principio cubiculum eo absente verrebant, lectum componebant, lumen afferebant, postea verò omnia turbabant, imagine B. Patris in cubiculo collocata, nullum deinceps in eo sensit incommodum, quamuis extrà magnos excitarent strepitus, ianuas fenestrasque aperirent & clauderent, & quadam inter se collisione tympanorum sonitum imitarentur. Verùm ijsdem in locis etiam posita B. Patris imagine, cunctus fragor conquieuit, omnisque terror abscessit.

Dum anno CIↃ. IↃ. XCVII. octauo Id. Iul. Romæ in æde sacra dæmon adiuratur, P. Ioannes Baptista Peruscus lipsanothecam multis Diuorum atque inter cæteras etiam B. Patris reliquijs instructam sinu gestans, in eam Deo supplicaturus ingreditur. Hîc in ipso introitu diabolus, eo quod secum Pater gerebat, vri se magno clamore conqueritur. Sacris igitur exorcismis adactus, vt dicat quid sit illud, confitetur esse reliquias B. Patris Ignatij magni serui Dei, auctoris Societatis IESV, cum in cælo beatam vitam agere, iam quidem



αὐτὴν πατάξαι οὐ δυνάμενοι, τοὺς τοῦ κοιτῶνος τοίχους, κίστας τε καὶ καλάθους ἐπάταξαν. οὐδ' ἀπέοικεν τὸ ἐν Ἀγκῶνι τῷ ἔτει α φ' ϛ θ', γραμματοδιδασκάλῳ τινὶ συμβάν. οὗτος ἐν τῷ οἴκῳ αὐτοῦ τῶν μορμόνων τὸ πρῶτον μὲν, αὐτοῦ ἀπόντος, τὸν κοιτῶνα σαιρούντων, τὴν κλίνην στορούντων, τὸ φῶς προσκομιζόντων, ὕστερον δὲ πάντα συγχεόντων ἀκούσας, τὴν τοῦ μακαρίου πατρὸς εἰκόνα ἐν τῷ κοιτῶνι καταθεὶς, εἰς τὸ λοιπὸν ἀβλαβῶς εἶχεν, εἰ καὶ ἔξω σφόδρα ἐψόφουν, τὰς θύρας καὶ θυρίδας ἀνέῳγον καὶ ἔκλειον, καὶ συγκρουσμῷ τινι ἀλλήλων τὸν τῶν τυμπάνων ἦχον ἐπεμιμοῦντο. ἀλλὰ μὴν καὶ τῆς εἰκόνος τοῦ μακαρίου πατρὸς αὐτόθι κατατεθείσης, ὅλος κτύπος ἀνεπαύσατο, καὶ πᾶς φόβος ἀπελύθη.

Τῷ ἔτει α φ' ϛ ζ', τῇ η' Ἰουλίου ἐν ναῷ τῆς Ῥώμης, τοῦ κακοδαίμονος ἐξορκιζομένου, ὁ πατὴρ Ἰωάννης Βαπτιστὴς Πέρουσκος θήκην πολλοῖς τῶν ἁγίων λειψάνοις, ἐν οἷς τινα ἦν τοῦ μακαρίου πατρὸς, κατεσκευασμένην ἐγκολπίσας ἐκεῖσε εἰσῆλθε, τοῦ τὸν θεὸν ἱκετεῦσαι. ἐν τῇ δὲ αὐτοῦ εἰσόδῳ ὁ διάβολος μεγάλῃ βοῇ ἐμεμψιμοίρησεν, ὡς χρήματι τῷ ὑπὸ τοῦ πατρὸς ἐγκολπισμένῳ καίεται. ἐξορκισθεὶς οὖν, ἵνα εἴπῃ, τί τοῦτό ἐστιν, ὡμολόγησεν εἶναι τὰ λείψανα τοῦ μακαρίου πατρὸς Ἰγνατίου, μεγάλου δούλου τοῦ θεοῦ, τοῦ ἀρχηγοῦ τῆς ἑταιρίας τοῦ Ἰησοῦ, καὶ αὐτὸν ἐν οὐρανῷ μακάριον βίον διάγειν, νυνὶ μὲν

dem incognitum, ſed in terris breui conſecrandum. Tum P. Peruſcus lipſanothecam accepit, qua collo miſeræ mulieris iniecta, dæmon vlulat, & reliquijs huius Patris vri ſe vociferatur, denique à muliere abſcedit Deo volente, vt tantum beneficium precibus B. Patris ferret acceptum.

In vrbe inſulæ Balearicæ maioris, fæmina Catharina Roca nomine, duodecim pæne annis quotidie fuit à dæmone vexata. Iam manus eius & caput ad parietem allidebat, iam tollebat altius, atque ei tantam grauitatem ac pondus addebat, vt duo viri bene valentes & robuſti iunctis viribus non poſſent vel vnum digitum à terra ſuſtollere. Nonnunquam more furioſi canis latrabat, aliàs gruniebat vt ſus, à iudicio frequenter & ſenſibus alienata in ore ſpumas agebat. Res erat commiſeratione digniſſima, tot quæſitis vndique remedijs non potuiſſe ſanari. Tandem anno cIↃ. IↃ. XCIIX. præcipitante Auguſto menſe, ſacerdos quidam Ioannes Pe nomine, autographum B. P. Ignatij nomen capiti miſerrimæ mulieris impoſuit tum cùm ſenſibus eſſet deſtituta: illa verò furioſos & inuſitatos toto corpore atque ore præſertim geſtus egit, tum demum diabolus emigrauit, liberamque ac ſanam reliquit. Illa porrò ſeſe honeſtè ſubduxit, Deo-



νου μὲν ἄγνωστον ὑπάρχειν, ἐν βραχεῖ δὲ ἐπὶ τῆς γῆς τοῖς ἁγίοις προσταχθήσεσθαι. τότε ὁ πατὴρ Πέρυσκος τὴν λειψανοθήκην λαβὼν τῷ τῆς ἀθλίας γυναικὸς τραχήλῳ εἰσέβαλε, τοῦ διαβόλου ὀλολύζοντος, καὶ, ὡς τοῖς τοῦδε τοῦ πατρὸς λειψάνοις καίεται, βοῶντος· ὃς τελευτῶν, ἀπὸ τῆς γυναικὸς ἀπῆλθε, τοῦ θεοῦ ἐθέλοντος, τοσοῦτο εὐεργέτημα ταῖς τοῦ μακαρίου πατρὸς προσευχαῖς ἀνατίθεσθαι.

Ἐν πόλει τῆς νήσου Βαλιαρίδος μείζονος, γυνή τις ὀνόματι Καθαρίνη Ῥῶκα σχεδὸν ἔτεσι δώδεκα καθεκάστην κακῶς ἐδαιμονίζετο. τότε μὲν γὰρ ὁ διάβολος τὰς χεῖρας καὶ τὴν κεφαλὴν αὐτῆς πρὸς τὸν τοῖχον ἐδάφιζε, τότε δ' εἰς ὕψος ᾖρε, καὶ τοσοῦτο βάρος αὐτῇ ἐνεποίει, ὥστε δύο ἄνδρες πάνυ ἰσχυροὶ καὶ εὐσθενεῖς σὺν πάσῃ αὐτῶν δυνάμει, μόνον γε δάκτυλον ἀπὸ τῆς γῆς ἐπαίρειν οὐκ ἠδύναντο. ἔστιν ὅτε κυνὸς λυσσώδους δίκην ὑλάκτει, ἄλλοτε ὡς σῦς ἐγρύλλιζε, καὶ πολλάκις ἀνοήτως καὶ ἀναισθήτως ἔχουσα τῷ στόματι ἤφριζε. καὶ μέντοι ἐλεεινότατον ἦν, τοσούτοις φαρμάκοις πανταχόθεν ζητηθεῖσιν αὐτὴν θεραπεύεσθαι οὐ δυνηθῆναι. ὕστερον ἔτει ͵αφϟη, περὶ τὸ τέλος τοῦ μηνὸς Αὐγούστου ἱερεύς τις ὀνόματι Ἰωάννης Πῆος, τὸ τοῦ μακαρίου πατρὸς Ἰγνατίου αὐτόγραφον τῇ κεφαλῇ τῆς ἀθλιωτάτης γυναικὸς τότε ἀναισθητούσης, ἐπέθηκεν· ἥτις δὲ ὅλῳ τῷ σώματι, μάλιστα δὲ τῷ στόματι μανιώδη καὶ ἀήθη σχήματα ἐπέδειξεν· τότε δὴ ὁ μὲν διάβολος μεθιστὰς αὐτὴν ἐλευθέραν καὶ ὑγιῆ κατέλιπε.

Deoque precibus Ignatij recuperatæ valetudinis gratias egit.

Montischala locus est in agro Senensi, ibi quandam virginem nomine Mnam, filiam Gratiani Galæ, maligni spiritus grauiter affligebant, ei frequenter corporea & adspectabili forma apparentes, illicientesque in stuprum. Sed cùm animaduerterent consensum se extorquere non posse, adeò crudeliter eam tutuderunt, vt corpus tumore ac liuore decoloratum relinquerent. Verùm hoc eam malo Deus imaginis B. P. Ignatij applicatione liberauit.

## CAPVT XIX.

*Memorabilis item quarundam sororum Mutinensium, ab infestatione dæmonum per Ignatij merita liberatio.*

SEd istud animaduersione est dignius, planioremque facit, quam à Deo accepit in dæmones potestaté, quod eodé hoc anno CIƆ.IƆ C. Mutinæ ciuitate Longobardiæ contigit, quod hîc exponam eo modo, quo ibi perscriptum est, atque ad nos inde transmissum, pressius tamen & breuius: Quatuor sunt Mutinæ sorores, iuuenes, honestæ & nobiles, quarum vna matrimonio iuncta, tres reliquæ nubiles, hæ cum alia item nubili puella, quam cognatio-





ἡ δ' ἑαυτὴν εὐσχημόνως ὑπεξαγαγοῦσα τῷ θεῷ ἀντὶ τῆς εὐρωστίας τῆς τῇ προσευχῇ τοῦ Ἰγνατίου ἀναληφθείσης εὐχαρίστησεν.

Ἐν Μοντισχάλῃ ἐν τῇ χώρᾳ τῶν Σηνέων οἱ κακοδαίμονες παρθένον τινὰ ὀνόματι Μνᾶν, θυγατέρα οὖσαν τοῦ Γρατιανοῦ Γάλου σφόδρα ἐταλαιπώρησαν, καὶ συχνῶς σωματικῷ καὶ ὁρατῷ εἴδει ὀφθέντες αὐτὴν εἰς τὴν διαφθορὰν ἐθελέασαν. καταινοήσαντες δ', ὡς οὐχ οἷοί τ' ἦσαν τὴν συγκατάθεσιν βιάζεσθαι, τοσαύτῃ ὠμότητι αὐτὴν ἐπάταξαν, ὥστε τὸ αὐτῆς σῶμα τῇ οἰδήσει καὶ τῷ πελιώματι κακόχρουν καταλιπεῖν. ταύτης δὲ κακοπαθείας τῇ τοῦ μακαρίου πατρὸς Ἰγνατίου εἰκόνι αὐτὴν ὁ θεὸς ἀπήλλαξε.

## Κεφ. ιθʹ.

*Ἀδελφαὶ Μουτιναῖαί τινες, ἀπὸ τῆς τῶν κακοδαιμόνων κακώσεως διὰ τῶν τοῦ Ἰγνατίου ἀξιῶν ἀξιομνημονεύτως ἀπαλλάττονται.*

ΑΞιώτερον δὲ τοῦ λόγου καὶ διασαφητικώτερόν ἐστι τῆς ἐξουσίας, ἧς ὁ Ἰγνάτιος παρὰ τοῦ θεοῦ, κατὰ τῶν διαβόλων, ἔλαβε, τὸ τούτῳ τῷ ἔτει αχʹ, ἐν τῇ Μουτίνῃ πόλει τῆς Λογγοβαρδίας συμβεβηκός· ὅπερ, καθὼς αὐτόθι συγγεγραμμένον πρὸς ἡμᾶς ἐκεῖθεν ἐπέμφθη, (ἀλλ' ὅμως βραχίον καὶ συντομώτερον) διελεύσομαι. τέσσαρές εἰσιν ἀδελφαὶ νέαι, σπουδαῖαι καὶ εὐγενεῖς, ὧν μία μὲν ἐξεγαμίσθη, τρεῖς δὲ λοιπαὶ ὡραῖαι οὖσαι τυγχάνουσιν· αὗται σὺν ἄλλῃ νεανίδι ὡσαύτως

gnatione etiam attingebant, multis iam annis adeò ſæuos & atroces atque aſſiduos inſultus immundorum ſpirituum ſuſtinebant, vt omnes ad commiſerationem mouerent. Morbo continenter affligebantur, cui medici mederi non poterant, nec eius naturam conijcere. In altiora loca nonnunquam deportabantur, vt inde præcipites agerentur: aliàs in ſecretiora domus cubicula includebantur, veſtis diſcindebatur, capilli ſpargebantur, corpus lacerabatur: cum periculo vitæ allidebantur ad terram, & vſque eò cædebantur, quoad domeſtici ſonitum verberum audientes, opitulaturi aduolarent. Porrò quamuis probæ virgines hæ fuiſſent, bene natæ honeſteque educatæ, in ſermone verecundæ, ab infernis tamen hiſce belluis obſcœnitatem verborum, horribilia in Deum maledicta, vaſtoſque ac terribiles vlulatus cogebantur emittere. Non poterant ſine magna vi ad precandum accedere, nec ad Dei laudem verbum audire, vel proloqui. Intereſſe ſacroſancto ſacrificio grauiſſimũ prorſus & intolerabile illis erat, propterea quòd dæmones quaſi defectas animo proſternebant, adeoque inſanos clamores edere compellebant, vt magna vi adhibita retineri vix poſſent. Cùm ſe ad pedes ſacerdotis abijcerent, peccatorum confeſſionem



ἀκμαῖα καὶ συγγενεῖ, πολλοῖς ἔτεσιν ἤδη οὕτω δεινάς, ἀπηνεῖς, καὶ συνεχεῖς εἰσβολὰς τῶν ἀκαθάρτων πνευμάτων ὑπέμενον, ὥστε ὑπὸ πάντων ἐλεηθῆναι. ὑπὸ νόσου ἀδιαλείπτως ἐκάκουν, ἣν οἱ ἰατροὶ οὐ θεραπεῦσαι, οὐδὲ τῆς φύσεως αὐτῆς στοχάσασθαι ἠδύναντο. καὶ ἔστιν ὅτε μὲν εἰς ὑψηλοτέρους τόπους ἀνηνέχθησαν, ὥστε ἐκεῖθεν κατακρημνισθῆναι· ἔστι δ' ὅτε ἐν τοῖς τοῦ οἴκου ταμείοις ἐνδοτάτοις ἐκλείσθησαν, ἡ ἐσθὴς διερράγη, αἱ τρίχες κατεσκεδάσθησαν, τὰ σώματα περιεδρύφθη, ἐπικινδύνως ἠδαφίσθησαν, καὶ τέως ἐτύφθησαν, ἕως ἂν οἱ οἰκεῖοι τὸν ψόφον τῶν μαστίγων ἀκούσαντες προσδράμωσι, τοῦ αὐταῖς βοηθῆσαι. εἰ δὲ καὶ αὗται παρθένοι εὐδόκιμοι ἐγίνοντο, καλῶς τε καὶ εὐσχημόνως τραφθεῖσαι τοῖς λόγοις αἰδήμονες ἦσαν, ὅμως ὑπὸ τούτων τοῦ ᾅδου θηρίων αἰσχροὺς λόγους, καὶ φρικτὰς βλασφημίας κατὰ τοῦ θεοῦ, ἀμέτρους τε καὶ φοβεροὺς ὀλολυγμοὺς ἐκφωνῆσαι ἠναγκάσθησαν. οὐχ οἷαί τ' ἐγένοντο ἄνευ μεγάλης βίας εἰς τὰς προσευχὰς ἐλθεῖν, οὐδ' εἰς τὴν τοῦ θεοῦ δόξαν ῥῆμα ἀκοῦσαι, ἢ ἐκλαλῆσαι. τὸ τῇ ἁγιωτάτῃ λειτουργίᾳ παρεῖναι δεινότατον καὶ ἀφόρητον αὐταῖς ἔδοξε, διότι οἱ κακοδαίμονες αὐτὰς ὡς λειποθυμούσας κατέβαλον, καὶ οὕτω μανικῶς βοῆσαι ἐβιάσοντο, ὥστε ἐν ἰσχύϊ μεγάλῃ κατέχεσθαι μόγις ἠδυνήθησαν. πρὸς τοὺς πόδας τοῦ ἱερέως πεσούσας ἐκώλυσαν τὰ ἁμαρτήματα

ἐξομολο-

onem ijdem impediebant, cogebantque fœdum in modum linguam exerere in sacramenti, sacerdotisque despectum. Sed quod illis grauissimum fuit, indomitæ libidinis stimulo continenter miseras agitabant, erant enim alioqui honestissimæ, ac domi nobiles, & earum aliquæ perpetuam Deo virginitatem vouerant. Quin etiam ipsimet adiurati dæmones confessi sunt, eò se machinas omnes contulisse, vt illis pudicitiam eriperent, atque in discrimen salutis animi corporisque adducerent, sed inanes suos conatus fuisse, propter vsum sacramentorum, quibus acrius eò se tuebantur, quò grauius adirent periculum. Neque hac tantorum malorum varietate contenti, eius, quæ in matrimonio erat, filium quatuor & decem menses natum occiderunt, atque, vt grauius eius animum vulnerarent, ei moriturum denunciarunt eo ipso die, quo postea magno matris, & totius familiæ dolore defunctus est. O altam & reconditam rationem iudiciorum Dei! Virgines hæ religiosæ & piæ remedium quæsiuerant à rebus jis omnibus, quas esse nouerant in vsu quotidiano Ecclesiæ, vt ab hac hostium generis humani tyrannide liberarentur. Adhibuerant orationes, sacrificia, exorcismos, aquã lustralem, reliquias Diuorum, ceterasque

ratio-



ἐξομολογῆσαι, ἀναγκάσαντες αἰσχρῶς τὴν γλῶτταν ἐκτεῖναι, εἰς τὸ τοῦ μυστηρίου καὶ τοῦ ἱερέως καταφρονεῖν. τοῦτο δὲ δεινότατον ἦν, ὅτι ἐπὶ τὴν ἀδάμητον ἀσέλγειαν τὰς ἀθλίας συνεχῶς παρώξυνον· πᾶσαι γὰρ σεμνόταται, καὶ εὐγενεῖς ὑπῆρξαν, καί τινες αὐτῶν τῷ θεῷ τὴν ἀΐδιον παρθενίαν προσήνεγκον. ἔτι δὲ οἱ ἐξορκωθέντες κακοδαίμονες αὐτοὶ ὡμολόγησαν, ταῦτα πάντα αὐτοὺς ἐπιμηχανήσασθαι, τοῦ αὐτὰς διαφθείρειν, καὶ εἰς τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος κίνδυνον καθιστάναι, ἀλλὰ ματαιοπονῆσαι, διὰ τὸ αὐτὰς χρῆσθαι τοῖς μυστηρίοις, οἷς ἑαυτὰς τοσούτῳ ἐπιμελέστερον ἠσφαλίσαντο, ὅσῳ δεινότερον ἐκινδύνευσαν. οὐ δὲ ταύτῃ τοσούτων κακῶν ποικιλίᾳ ἀγαπήσαντες τὸν τῆς γαμηθείσης υἱὸν τεσσαρεσκαίδεκα μῆνας γεγονότα ἀπέκτειναν, καὶ ἵνα βάρειον τὴν ψυχὴν αὐτῆς διατρώσῃ, ὡς αὐτὸς τῇ αὐτῇ ἡμέρᾳ θανεῖται, ἐν ἐκείνῃ κατήγγειλαν, ᾗ μεγάλῃ λύπῃ τῆς μητρὸς καὶ ὅλου τοῦ οἴκου ὕστερον ἀπέθανεν. ὢ βάθος καὶ ἀνεξερευνησία τῶν κριμάτων τοῦ θεοῦ; αὗται παρθένοι εὐσεβεῖς καὶ θεόφιλοι οὖσαι, ἀπὸ πάντων, ἅτινα τῇ ἐκκλησίᾳ καθ' ἑκάστην συνήθη οἴδασιν, ἐζήτησαν φάρμακα, ἵνα ταύτης τῆς τυραννίδος τῶν ἐχθρῶν τοῦ ἀνθρωπίνου γένους ἀπαλλαχθῶσιν. ἐχρήσαντο προσευχαῖς, λειτουργίαις, ἐξορκισμοῖς, ὕδατι καθαρτικῷ, λειψάνοις τῶν ἁγίων, καὶ ἄλλοις

K τρόποις

rationes & remedia, quæ in Ecclesiæ consuetudine sunt posita. Vsæ diu fuerant operâ sacerdotum & religiosorum virtute & prudentia singulari, vt ab his tanquam bonis medicis curarentur. Sacram ædem Lauretanam frequentarant, ceteraque loca, quæ religiosa habentur, eaque præsertim, in quibus Deus solitus in dæmones potestatem ostendere. Sed hæc frustrà tentata sunt omnia: scilicet Deus istam curationem maiori gloriæ reseruabat Ignatij, cuius meritis & orationibus quatuor illæ sorores & his alia cognatione iuncta, diuturnis tormentis liberatæ sunt, & iam incolumitatem, natiuum oris colorem, & mentis alacritatem recuperarunt. Stimulus ille libidinis vim suam perdidit, oratio facilis, tam ea quæ est in voce, quàm quæ in sola mente. Intersunt rei diuinæ magna religione & animi voluptate. Modestia elucet in moribus, colloquia cum domesticis, vt solebant, suauitate condita. Quocirca mirantur omnes qui illas norunt, sed multo magis cùm ante oculos ponunt viam & rationem, qua precibus B. Ignatij his malis ereptæ sunt, atque hæc est eiusmodi.

Rector Collegij Societatis IESV Mutinensis miseriam & calamitatem harum virginum cùm inaudisset, re ex intimo ani-





τρόποις καὶ θεραπείαις, αἵτινες ἐν τῇ ἐκκλησίᾳ εἰθισμέναι εἰσί. πολλῷ χρόνῳ μετέλαβον τῆς σπουδῆς τῶν ἱερέων καὶ ἀσκητῶν ἐπ' ἀρετῇ καὶ φρονήσει ἐξαιρέτῳ εὐδοκίμων, ἵν' ὑπ' αὐτῶν ὡς ἀγαθῶν ἰατρῶν θεραπευθῶσιν. εἰς τὸν ναὸν τὸν ἐν τῷ Λαυρήτῳ, καὶ εἰς ἄλλους τόπους ἁγίους, ὅπου ὁ θεὸς τὴν ἐξουσίαν τὴν κατὰ τῶν διαβόλων μάλιστα ἐπιδεῖξαι εἴωθε, πλεονάκις ἀπεδήμησαν. ἀλλὰ πάντα ἀνηνύτως ἐπειράθη. ταύτην δὴ τὴν ἴασιν τοῦ θεοῦ τηροῦντος εἰς τὴν μείζω δόξαν τοῦ Ἰγνατίου, οὗ τινος ἀξίαις καὶ προσευχαῖς τέσσαρες ἐκεῖναι ἀδελφαὶ σὺν ἄλλῃ αὐτῶν συγγενεῖ, τῶν πολυχρονίων βασάνων ἀπολυθεῖσαι, τὴν ὑγίειαν, τὸ φυσικὸν τῆς ὄψεως χρῶμα, καὶ τὴν προθυμίαν ἀνέλαβον. ὁ τῆς ἀσελγείας σκόλοψ ἠσθενώθη, ἡ προσευχή, ἥτε φωνητικὴ καὶ ἡ νοερὰ, εὐκόλως ἔχει. τῇ λειτουργίᾳ μετὰ μεγάλης εὐσεβείας καὶ εὐφροσύνης παραγίνονται. ἡ εὐταξία ἐν τοῖς τρόποις ἐκλάμπει, αἱ ἐντεύξεις πρὸς τοὺς οἰκείους κατ' ἔθος ἡδύνονται. Διόπερ πάντες μὲν οἱ αὐτὰς ἐπιγνόντες θαυμάζουσι, μάλιστα δὲ οἱ τὴν ὁδὸν καὶ τὸν τρόπον σκοποῦντες, ᾧ διὰ τῆς προσευχῆς τοῦ μακαρίου Ἰγνατίου τούτων κακῶν ἠλευθερώθησαν· ὁ δὲ τοιοῦτός ἐστιν.

Ὁ τοῦ τῆς ἑταιρίας Ἰησοῦ συλλόγου τοῦ ἐν Μουτίνῃ προστάτης, τὴν ἀθλιότητα καὶ ταλαιπωρίαν τούτων τῶν παρθένων πυθόμενος, καὶ ἐκ βάθους ψυχῆς τὸ

mi sensu Deo commendata, diuinitus admonitus (vt res ipsa monstrauit) earum domum adijt secum ferens impressam B. Patris imaginem, quam pietatis caussa seruabat; ingressus est earum cubiculum eo tempore, quo sacerdos dæmones adiurabat, nullique penitus imaginis mentionem fecit, affixit eam parieti atque orationi institit. Tum subitò tartarei spiritus insanos clamores, horribiles edere eiulatus, Ignatij fundatoris Societatis adesse imaginem, qua summo cruciatu conficerentur. Nec à petulantibus quidem maledictis temperabant: nunc glabrionem, nunc claudum, nunc cæcutientem appellantes. Cur autem his nominibus eum vocarent fateri iussi, responderunt, glabrum se nominasse propter caluitium & raram barbam, claudum verò propter tibiarum ex altero crure suffracto inæqualitatem; postremò cæcutientem propter vberrimũ fletum, quo de sensu videndi periclitatus fuerat: querebanturque hominem longinquum & alienigenam inde vsque ex Hispania venisse, vt se implacabiliter & viuus, & mortuus persequeretur. Atque eo ipso tempore multi tenebrarum principes confessi virtutem Ignatij, editisque horrendis vlulatibus corpus vnius sororũ egressi sunt, ea humi afflicta ac velut mortua re-





πρᾶγμα τῷ θεῷ συστήσας, τῇ τοῦ θεοῦ ὑπομνήσει (καθὼς τὸ συμβεβηκὸς ἐφανέρωσεν) εἰς τὴν αὐτῶν οἰκίαν ἀφίκετο, τὴν τοῦ μακαρίου πατρὸς εἰκόνα ἐκτυπωθεῖσαν ἀνακομίσας, ἣν, εὐλαβείας ἕνεκα, ἐτήρησεν. εἰσελθὼν δ' εἰς τὸν αὐτῶν κοιτῶνα, ὅτε ὁ ἱερεὺς τοὺς κακοδαίμονας ἐξωρκίζετο, καὶ μηδενὶ μὲν περὶ τῆς εἰκόνος τι εἰπὼν, τῷ δὲ τοίχῳ αὐτὴν προσάψας, τῇ δεήσει προσεκαρτέρησε. τότε παραχρῆμα τὰ ταρτάρεια πνεύματα μανικῶς ἐβόησαν, καὶ φοβερῶς ὠλόλυξαν, ὡς ἡ εἰκὼν τοῦ Ἰγνατίου ἀρχηγοῦ τῆς ἑταιρείας παρείη, ᾗ τινι ὡς μάλιστα ὠδυνῶντο. καὶ οὐκ ἀπεῖχον βλασφημιῶν ὑβριστικῶν, ὁτὲ μὲν φαλακρὸν, πάλιν δὲ χωλὸν, καὶ ἀμβλυώττοντα ὀνομάζοντα. κελευσθέντα δὲ ἐξαγορεῦσαι αἰτίαν τούτων τῶν ὀνομάτων, ἀπεκρίθησαν, ὡς φαλακρὸν μὲν ἀπεκάλεσαν διὰ τὴν φαλακρότητα καὶ σπανοπωγωνίαν, χωλὸν δὲ διὰ τὴν τῶν κνημῶν ἀνωμαλίαν, τὴν ἐκ τοῦ ἑτέρου σκέλους ἀπερρωγότος γινομένην· τελευταῖον ἀμβλυώττοντα, διὰ τὴν τῶν δακρύων εὐπορίαν, ᾗ περὶ τῆς ὄψεως ἐκινδύνευσεν. ἐμέμψατο δὲ ἄνδρα πόῤῥω γεγονότα καὶ ἀλλοδαπὸν ἐκ τῆς Ἱσπανίας μακρὰν ἀφικόμενον, ἵνα αὐτὰ ζῶν καὶ τελευτήσας ἀκαταπραΰντως διώξῃ. καὶ τῷ αὐτῷ χρόνῳ πολλοὶ ἄρχοντες τοῦ σκότους τὴν τοῦ Ἰγνατίου δύναμιν φοβεροῖς ὀλολυγμοῖς ὁμολογήσαντες ἐκ σώματος μιᾶς τῶν ἀδελφῶν ἐξῆλθον, καὶ αὐτὴν κα-

tua relicta. Ex eo die reliquæ ſorores earumque mater,& vniuerſa domus colendi B. Patris amore teneri cœperunt, ſpe concepta valetudinis optatiſſimæ recuperandæ,adeoq; natalem eius diem ſollemnem ac feſtum agendi, pridieque ieiunandi voto ſe obſtrinxerunt. Huic amori conſecuta res noua incrementum dedit. Nam Auguſtinus Viuado Pater Societatis per id tempus Roma Mutinam proficiſcens ad concionandum, tulit ſecum lipſanothecam, in qua reliquiæ B. Patris erant inter ceteras, quibus in cubiculo ſororum occultè collocatis, dæmones mox has Ignatij reliquias eſſe vociferati ſunt, atque addiderũt, vnde, & à quo eſſent allatæ. Intolerabiles autem inde cruciatus ſe perferre confitebantur,ſe cunctos ex ijs corporibus eiuſdem ſupplicatione deturbandos, Deumque ſtatuiſſe nomen eius in terris gloria illuſtrare.

Alio quopiam die præcipuus quidam dæmon antequam egrederetur,illuſit quidem Ignatio, atque in eum maledicta cõgeſſit. Sed imminente diſceſſu Deus eum magno ſuo pudore fateri oſſis eius particula ſe aduri,tertioque ſanctum appellare adegit: Sanctus, inquit,Ignatius, Sanctus Ignatius, Sanctus Ignatius me ſua animi demiſſione, potentia, pietate qua fuit in

ſanctiſ-



παραβεβλημένην καὶ ὡς ἀποθανοῦσαν κατέλιπον. ἐξ ἐκείνης τῆς ἡμέρας αἱ ἄλλαι ἀδελφαὶ, καὶ ἡ αὐτῶν μήτηρ, καὶ πᾶς οἶκος τὸν μακάριον πατέρα Ιγνάτιον σέβεσθαι ἤρξαντο, ὑποκειμένης ἐλπίδος, τοῦ τὴν ἐπιπόθητον ὑγίειαν ἀναλαβεῖν, καὶ εὐχὴν ἐποιήσαντο τοῦ τὴν γενέθλιον αὐτοῦ ἑορτάσαι, καὶ τῇ προτεραίᾳ νηστεῦσαι. αὕτη δ' ἐπιθυμία ἐκ τοῦ τότε νέως συμβεβηκότος ἐπίδοσιν ἔλαβεν. ὁ γὰρ Αυγουστῖνος Βίβαδος, ὁ τῆς ἑταιρίας πατὴρ, τηνικαῦτα ἐκ τῆς Ρώμης εἰς τὴν Μούτιναν πορευθεὶς τοῦ ἐκκλησιάσαι, ἐκόμισε λειψανοθήκην, ἐν ᾗ, πλὴν ἄλλων, καὶ τὰ λείψανα τοῦ μακαρίου πατρὸς ἐγένετο, ὧν ἐν τῷ ταμείῳ τῶν ἀδελφῶν λάθρα ἀποκειμένων, οἱ κακοδαίμονες εὐθέως ἐβόησαν, ὅτι τὰ τοῦ Ιγνατίου λείψανα ἦν, καὶ τοῦτο προσθέντες, πόθεν, καὶ ἀπὸ τίνος προσεκομίσθη. ἀφορήτους δὲ βασάνους ἐξ αὐτῶν παθεῖν ὡμολογήσαντο, καὶ ὅτι πάντες ἐξ ἐκείνων σωμάτων, τῇ αὐτοῦ ἱκετείᾳ, ἐκβληθήσονται· καὶ ὅτι ὁ θεὸς τὸ ὄνομα αὐτοῦ ἐπὶ τῆς γῆς δοξάσαι προείλετο.

Ἄλλῃ τινὶ ἡμέρᾳ δαιμόνιόν τι ἔξοχον πρὸ τοῦ ἐξελθεῖν, τῷ μὲν Ιγνατίῳ ἐμπαῖξαν ἐλοιδορήσατο. ἐνεστώσης δὲ ἀποχωρήσεως, ὁ θεὸς αὐτὸ σφόδρα καταισχυνθὲν ἐξομολογῆσαι, ὅτι τῷ μορίῳ τοῦ ὀστέου αὐτοῦ καίεται, καὶ τρὶς ἅγιον αὐτὸν ὀνομάσαι ἠνάγκασεν· Ἅγιος, ἔφη, Ιγνάτιος, Ἅγιος Ιγνάτιος, Ἅγιος Ιγνάτιος τῇ αὐτοῦ ταπεινοφροσύνῃ, δυνάμει καὶ εὐσεβείᾳ, τῇ πρὸς τὴν



ἁγιω-

ſanctiſſimam Virginem, expellit. Alij cùm celare vellent ſe per Ignatium pelli, mallentque depulſionem hanc alijs ſanctis attribui, quos ſingulari cultu ſorores illæ proſequebantur, in egreſſu tamen ſe mentitos eſſe fateri cogebantur, & Ignatium ornare gloria ac dicere, ſolius eius opera in hac eiectione Deum vti velle. Aliàs inſanos clamores edebant, atque exeuntes; Vbi eſt, inquiunt, Lucifer poteſtas tua? quandoquidem chartæ fragmentum ſacerdotis iſtius imagine conſignatum nos eijcit, neque potes obſiſtere? Aliquando cùm eſſent inani conatu toto die ſæpius adiurati, ſe non abituros eſſe dicebant, niſi ſubſidium inuocaretur Ignatij, cumq; ſacerdos diceret: Impero vobis per merita B. Ignatij vt exeatis, illi nulla interpoſita mora præcipites rabie ac furore cedebant. Ita ſubinde loquebantur: Ah, ah Deus, itane verò nos gloria ſpolias, vt eam iſti ſacerdoti claudo rugoſoque tribuas? Quam efficacitatem impreſſa B. Patris imago, eiuſque reliquiæ habebant, eandem & ipſius vitæ liber habere viſus eſt. Cùm enim ad ædes harum virginum deportatus eſſet, vel vt imponeretur earum capiti vel pectori, vel vt aliquod capitulum in eo legeretur, tartareos ſpiritus cùm mirè torquebat, tum ad abeundum, cedendum-





ἁγιωτάτην παρθένον ἐμὲ ἐκβάλλει. Ἄλλοι, εἰ καὶ τὸ ὑπὸ τοῦ Ιγνατίου ἐκβάλλεσθαι, κρύπτειν ἐβούλοντο, καὶ μᾶλλον ταύτην τὴν ἐξώθησιν ἄλλοις ἁγίοις ἀνατίθεσθαι ἤθελον, οὓς ἐκεῖναι ἀδελφαὶ ἰδίως ἐθεράπευον, ὅμως ἐν τῇ ἐξόδῳ ἐβιάσθησαν ὁμολογῆσαι ὡς ἐψεύσαντο, καὶ τὸν Ιγνάτιον ἐγκωμιάσαι, εἰπόντες, ὅτι ὁ θεὸς διὰ μόνου τοῦ Ιγνατίου αὐτοὺς ἐκβαλεῖν προείλετο. ἄλλοτε μανικῶς ἐκραύγασαν, καὶ ἐξελθόντες ἔφησαν· ποῦ, ὦ ἑωσφόρε, ἡ δύναμίς σου; ἐπειδὴ ἀπόκομμα τοῦ χάρτου τοῦ ἱερέως τούτου εἰκόνι σημειωθὲν ἡμᾶς ἐξωθεῖ, καὶ σὺ οὐχ οἷός τε γίνῃ ἀντιστατεῖν; ἐνίοτε ὅλην τὴν ἡμέραν πολλάκις μάτην ἐξορκισθέντες εἶπον, ὅτι οὐκ ἐξελεύσονται, ἐὰν μὴ ἡ τοῦ Ιγνατίου βοήθεια ἐπικληθῇ, καὶ τοῦ ἱερέως λέγοντος· ἐπιτάττω ὑμῖν διὰ τῶν ἀξιῶν τοῦ μακαρίου Ιγνατίου ἐξελθεῖν, μηδεμίαν ἀναβολὴν ποιησάμενοι, μανικῶς καὶ λυσσωδῶς ἀπεχώρησαν. οὕτω δέ ποτε ἐλάλησαν· αἲ αἲ θεέ, ἆρα γε ἡμᾶς οὕτω δόξης ἀποστερεῖς, ὥστε δοξασθῆναι τοῦτον τὸν ἱερέα χωλὸν καὶ ῥυπώδη; ἣν δὲ ἐνέργειαν ἡ τοῦ μακαρίου πατρὸς εἰκὼν ἐκτυπωθεῖσα, καὶ τὰ αὐτοῦ λείψανα εἶχε, ταύτης καὶ τὸ τοῦ βίου αὐτοῦ βιβλίον ἐπιτυχεῖν ἔδοξεν. ἀνακομισθὲν γὰρ εἰς τὸν οἶκον τούτων παρθένων ἢ τῇ κεφαλῇ, ἢ τῷ στήθει ἐπιτεθῆναι, ἢ κεφάλαιόν τι ἐν αὐτῷ ἀναγνωσθῆναι, θαυμαστῶς τὰ ὑποταρτάρεια πνεύματα ἐβασάνιζε, καὶ ἠνάγκαζε παραχωρῆσαι τῷ θελήματι

que Dei voluntati compellebat, qui mirabilis est in sanctis suis, datque vim conculcandi leonem & draconem, deque omnibus dæmonibus triumphandi. Ad duos menses durauit iste conflictus, donec referretur plena victoria. Vt enim præclarè D. Bernardus ait, agens de duobus dæmonibus per sanctum Malachiam eiectis, istã moram & tarditatem non attulit inopia potestatis, sed statutum Dei, vt omnibus fieret inimici potestas apertior, & sancti qui eum exturbabat victoria clarior.

## CAPVT XX.

*Verborum Ignatij mira in tractandis flectendisque hominum animis efficacitas.*

NEc verò solùm in dæmones, sed etiam in animis hominum, quibuscum agebat, hanc diuinitus auctoritatem visus est accepisse. Fuit enim vis illa mirabilis, quam Deus eius orationi tribuit, quæ humana maior apparebat, animosque permouebat non eloquentia verborum, sed spiritus rerumque, quas tractabat, grauitate. Itaque homines duros & obfirmatos molliebat vt ceram, adeoque flectebat, vt seipsos & suam mutationem mirarentur. Molestias & angores duobus sæpe verbis leuabat; ex animis ægritudines depellebat,



τοῦ θεοῦ, τοῦ θαυμαστοῦ ὄντος ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ διδόντος δύναμιν τοῦ καταπατεῖν λέοντα καὶ δράκοντα, καὶ πάντας κακοδαίμονας θριαμβεύειν. αὕτη δὲ σύῤῥαξις περὶ δύο μῆνας διέμεινεν, ἕως ἂν παρὰ τῶν πολεμίων τελεία νίκη ληφθῇ. ὥσπερ γὰρ ὁ ἅγιος Βέρναρδος περὶ τῶν δυοῖν διαβόλων ὑπὸ τοῦ ἁγίου Μαλαχίου ἐκβληθέντων καλῶς εἶπε, ταύτης τῆς ἀναβολῆς καὶ βραδυτῆτος οὐκ αἰτία γέγονεν ἀπορία τῆς ἐξουσίας, ἀλλὰ τὸ διάταγμα τοῦ θεοῦ, ὅπως πᾶσιν ἥτε τοῦ ἐχθροῦ δύναμις, καὶ ἡ τοῦ αὐτὸν ἐκβαλόντος νίκη λαμπροτέρα γένηται.

## Κεφ. κ'.

Ἡ τοῦ λόγου τοῦ Ἰγνατίου ἐν τῷ τοὺς ἀνθρώπους ψυχαγωγεῖν καὶ μεταπείθειν θαυμαστὴ ἐνέργεια.

ΟΥ μόνον δὲ κατὰ τῶν κακοδαιμόνων, ἀλλὰ καὶ κατὰ τῶν ψυχῶν ἀνθρώπων, οἷς ἐπλησίασεν, ταύτην ἐξουσίαν οὐρανόθεν λαβεῖν ἔδοξεν. ἡ γὰρ δύναμις, ἣν ὁ θεὸς τῷ αὐτοῦ λόγῳ ἐχαρίσατο, μείζων ἦν, ἢ κατ' ἄνθρωπον, καὶ τοὺς ἀκροατὰς ἀνέπειθεν, οὐ τῇ εὐφραδίᾳ τῶν λόγων, ἀλλὰ τῇ τοῦ πνεύματος καὶ τῆς ὑποθέσεως δεινότητι. διόπερ τοὺς σκληροὺς καὶ ἀμεταπείστους ὡς κηρὸν ἐμάλαττε, καὶ οὕτως ἀνέπειθεν, ὥστε ἑαυτοὺς καὶ τὴν αὐτῶν μεταβολὴν θαυμάσαι. τὰς ἀηδίας καὶ ἀδημονίας πολλάκις δυσὶ ῥήμασιν ἐκούφιζε· τὰς λύπας ἀπώθει,

τὰς

bat, iacentes excitabat, eisque pacem & securitatem dabat.

Iudæus quidam Iſaac nomine, fidei myſterijs imbuendus domi noſtræ morabatur, quia Christiana ſacra amplecti decreuerat: ille die quopiam tanta vi oppugnatus fuit à dæmone, vt velut furioſus & amens abire velle ſe diceret, nullumque cũ ſacris fidei noſtræ myſterijs habere commercium. Pater hominem vocandum ad ſe curauit, eique tantummodo dixit: Iſaac mane nobiſcum, qua voce ille furentem ſubitò mitigauit; & leo ferus in mitem agnum conuerſus eſt, domique remanſit, dum ſacro fonte tingeretur.

Ioannem Paulum vnum è fratribus Patris noſtri ſocium, ita diabolus aliquando vexauit, inanique ſcrupulo dies noctesque ſtimulauit & punxit, vt vix ſpiritum ducere, animi certè quietem inuenire nuſquam poſſet; non oratione, non ſtudio pœnitentiæ, non ſacramentorum vſu, non quæſitis aliunde remedijs recreari; tanto denique in luctu verſabatur, vt viua mortis imago eſſe videretur: at vbi rem cum B. Patre communicauit, is duobus tantummodo verbis vſus, omnem veluti manu moleſtiam ei non ademit ſolum, ſed ita radicitùs euulſit, ac ſi nunquam eâ laboraſſet. Alium noui, cuius nomen (quoniam viuus adhuc

eſt)



τοὺς ἀθυμοῦντας ἐξήγειρεν, αὐτοὺς εἰρηνοποιῶν καὶ ἀσφαλίζων.

Ἰουδαῖός τις ὀνόματι Ἰσαὰκ κατηχούμενος ἐν οἴκῳ ἡμῶν διῆγεν, ὅτι χριστιανὸς γενέσθαι προείλετο· οὗτος ἡμέρᾳ τινὶ ὑπὸ κακοδαίμονος οὕτω δεινῶς ἐπολεμήθη, ὥστε ὡς μανικὸς καὶ ἄνους εἶπεν, ὅτι ἀπελθεῖν, καὶ οὐδὲν τοῖς μυστηρίοις ἁγίοις τῆς πίστεως ἡμῶν κοινωνῆσαι ἐβούλετο. ὁ δὲ πατὴρ τὸν ἄνθρωπον προσκαλέσας, αὐτῷ τόδε μόνον ἔλεξεν· Ἰσαάκ, μεῖνον μεθ' ἡμῶν· ᾗ τινι φωνῇ αὐτὸς τὸν μαινόμενον εὐθέως κατεπράϋνε· καὶ ὁ λέων ἄγριος εἰς πρᾶον ἀμνὸν μετεβλήθη, οἴκοι διαμείνας, ἄχρι τοῦ βαπτισθῆναι.

Ἰωάννην Παῦλον ἕνα τῶν ἀδελφῶν τοῦ πατρὸς ἡμῶν ἑταῖρον, οὕτως ὁ διάβολός ποτε ἐκάκωσε, καὶ ματαίᾳ ἀπορίᾳ τῆς συνειδήσεως ἡμέρας καὶ νύκτας ἐκέντρισε καὶ ἔνυξεν, ὥστε μόλις μὲν τὸν βίον ἄγειν, τῆς δὲ τοῦ νοῦ ἡσυχίας πάντως οὐδαμῇ ἐπιτυγχάνειν, οὐδὲ τῇ προσευχῇ, οὐδὲ τῇ τῆς μετανοίας σπουδῇ, οὐδὲ τῇ τῶν μυστηρίων χρήσει, οὐδὲ τοῖς ἄλλοθεν πορισθεῖσιν ἀλεξιφαρμάκοις ἀναπαύεσθαι δυνηθῆναι· καὶ τελευτῶν τοσούτῳ πένθει ἐνέπεσεν, ὥστε ζωὴ εἰκὼν τοῦ θανάτου ἐφαίνετο. ἐν τῷ δὲ κοινολογεῖσθαι τῷ μακαρίῳ πατρὶ περὶ τούτου, αὐτὸς μόνον δυσὶ ῥήμασι χρησάμενος οὐ μόνον πᾶσαν λύπην, ὥσπερ χειρὶ, ἀπ' αὐτοῦ ἀπέμαξεν, ἀλλ' οὕτως ἀπερρίζωσεν, ὥσπερ εἰ αὐτὸς οὐδέποτε ἐκείνῃ ἐλήφθη. Ἄλλον ἐπέγνων

(οὗ τινος

est) tacitus prætereo, qui adolescens admodum, nescio quo casu, tanto timore perculsus est, vt vel vmbram suam formidaret: mox verò vt hanc perturbationem & inanem metum B. Patri commemorauit, vno illius verbo pristinam animi serenitatem & æquitatem recepit.

Huic ipsi & alia duo contigerunt, quæ clarissimè demonstrarunt, quantum robur serui sui verbis Deus addidisset, quamque flexanima esset eius oratio apud eos, qui illius sermone congressuque vterentur. Primùm ita pertinax hic adolescens aliquando fuit, vt salutaria Patris consilia prorsus respueret, idem tamen mox vnica eius grauiore compellatione sic flexus est, vt abiecta omni cunctatione exclamaret, Faciam Pater, faciam. Promissioni respondit euentus, eò quòd ob admirabiles, quos sentiebat animi motus, amplius sibi obsistendum non putaret. Alterum est, quòd hic idem cogitarat, & pænè constituerat à Societate deficere, vt verò confessione B. Patri totius vitæ noxas aperuit, illeque dixit: Obsecro te, ne ingratus in eum sis, qui in te tanta beneficia contulit, omnem subitò eiusmodi deliberationem sustulit, hominemque ita confirmauit, vt in cœpto vitæ instituto permanere decerneret, in quo etiamnum laudabiliter perseuerat,

neque



(οὗ τινος ὄνομα, ὡς ἔτι ζῶντος, καταισιωπῶ) ὃς μὲν κομιδῇ νέος ὑπάρχων, οὐκ οἶδα ὅπως τόνδε τὸν τρόπον κατεπλήχθη, ὥστε καὶ τὴν αὐτοῦ σκιὰν φοβηθῆναι. ταύτην δὲ ταραχὴν καὶ μάταιον φόβον τῷ μακαρίῳ πατρὶ διηγησάμενος, μόνῳ αὐτοῦ λόγῳ τὴν πρόσθεν γαληνότητα καὶ εὐθυμίαν ἀνέλαβε.

Προσέτι τῷ αὐτῷ ἄλλα δύο συνέβη, ἅ τινα σαφέστατα ἐδήλωσεν, ὅσον ἂν ὁ θεὸς τοὺς τοῦ δούλου αὐτοῦ λόγους ἐδυνάμωσε, καὶ ὡς τοὺς συνομιλοῦντας καὶ πλησιάζοντας αὐτῷ ἐψυχαγώγησε. πρῶτον μὲν ὅδε ὁ νέος οὕτω ποτὲ ἰσχυρογνώμων ὤν, ὥστε τοῦ πατρὸς συμβουλίας σωτηριώδεις παντελῶς ἀποπτύσαι, μιᾷ προσφωνήσει αὐτοῦ δεινοτέρᾳ εὐθέως οὕτως ἐπείσθη, ὥστε ἀμελλητὶ ἀνέκραξε· ποιήσω, πάτερ, ποιήσω. καὶ τὸ συμβεβηκὸς τῆς ὑποσχέσεως οὐχ ἥμαρτεν, ἀνθ᾽ ὧν θαυμαστῶς τὴν γνώμην διακείμενος, οὐκ ἔτι ἀπειθεῖν αὐτῷ ἔδοξε. τὸ δὲ δεύτερον, ὅτι μὲν ὁ αὐτὸς ἐννοήσας, καὶ σχεδὸν προελόμενος ἀποστῆναι τῆς ἑταιρίας, τῷ μακαρίῳ πατρὶ πάντα τοῦ βίου ἁμαρτήματα ἐξωμολόγησεν· ὁ δ᾽ εἰπών, δέομαί σου μὴ ἀχαριστεῖν πρὸς τὸν τοιαῦτα ἀγαθά σε ποιήσαντα, παραχρῆμα πᾶσαν ταύτην διανόησιν ἀνεῖλε, καὶ αὐτὸν οὕτω ἐβεβαίωσεν, ὥστε προείλετο τῷ καταρχθέντι τοῦ βίου ἐπιτηδεύματι ἐμμένειν, ἐν ᾧ ἔτι καὶ νῦν ἐπαινετῶς ζῶν διατελεῖ.

καὶ εἰς

neque deinceps vnquam eiusmodi cogitatione pulsatus est.

Alia huius generis multa commemorare possemus; quamobrem P. Franciscum Borgiam, virum ea sanctitate & prudentiâ quâ omnes norunt, referre memini; Pater Ignatius, inquit, loquebatur tanquam potestatem habens, eaque vi præditus, vt animos hominum quamcunque in partem vellet, impelleret. Narrat D. Bernardus, Sanctum Malachiam Episcopum domuisse fæminam natura ferocem & iracundam, suoque iudicio maius illud fuisse miraculum, quàm cùm idem mortuam luci restituit; in altero siquidem hominem exteriorem, in altero verò interiorem excitarat ad vitam. Hæc beati illius viri sententia.

## CAPVT XXI.

*Cuiusque generis morbi per B. P. Ignatij inuocationem curati.*

SEd institutum narrationis nostræ cursum prosequamur, aliaque nonnulla miracula, quæ Deus illius precibus eo mortuo fecit; maximeque his posterioribus annis, quibus de eius consecratione deliberatio suscepta est. Deus enim multa, varia, & magna in varijs prouincijs edit, quibus in ipsum pietas hominum excitetur,



καὶ εἰς τὸ λοιπὸν οὐδέποτε τοιαύτῃ διανοίᾳ ἠνωχλήθη.

Πολλὰ τούτοις ὅμοια διελθεῖν προὔχειρον ἂν ἐγίνετο· διόπερ μέμνημαι ἀκούσας τοῦ πατρὸς Φραγκίσκου Βοργίου τοῦ ἀνδρὸς ἐπὶ τῇ ἁγιότητι καὶ συνέσει παρὰ πᾶσιν εὐδοκίμου εἰπόντος· ὁ πατὴρ Ἰγνάτιος ἐλάλει ὡς ἐξουσίαν ἔχων, καὶ οἷός τε γινόμενος τοὺς ἀνθρώπους, ὅποι ἂν βουληθῇ, ψυχαγωγεῖν. ὁ ἅγιος Βέρναρδος ἱστόρησε, τὸν ἅγιον Μαλαχίαν ἐπίσκοπον καταπραΰναι γυναῖκα τὴν φύσιν ἀγρίαν καὶ ἐπίχολον, καὶ ὡς παρ' αὐτῷ κέκριται, τόδε θαῦμα μεῖζον γενέσθαι, ἢ ὅτε αὐτὴν ἤγειρεν ἐκ νεκρῶν· ἐν τῷ μὲν γὰρ ἄνθρωπον τὸν ἔξω, ἐν τῷ δὲ τὸν ἔσω ἀνέστησεν· αὕτη δὴ τούτου ἁγίου ἀνδρὸς γνώμη ἐστί.

## Κεφ. κα'.

Παντοδαπὰ νοσήματα διὰ τῆς τοῦ μακαρίου πατρὸς Ἰγνατίου ἐπικλήσεως θεραπευθέντα.

ΠΑλιν δ' ἐπανέλθωμεν ἐπὶ τὴν ὑπόθεσιν, καὶ ἄλλα τινὰ θαύματα, ἅπερ ὁ θεὸς μετὰ τὴν αὐτοῦ τελευτὴν κατειργάσατο, μάλιστα ἐν τούτοις τοῖς ὕστερον ἔτεσιν, οἷς περὶ τοῦ αὐτὸν τοῖς ἁγίοις προσγράψαι, βούλευσις προὐτέθη. ὁ γὰρ θεὸς πολλὰ διάφορα καὶ μεγάλα ἐν διαφόραις χώραις ἐποίησε, ἵνα τὴν τῶν ἀνθρώπων εὐσέβειαν πρὸς αὐτὸν ἐγερθῆναι,

tur, & quemadmodum in cælo celebratur eius gloria, sic etiam celebretur in terris.

Eo temporis puncto, quo Romæ decessit è vita, Bononiæ splendescens, inclytusque apparuit nobili matronæ viduæ Margaretæ Delis nomine, & Societatis amantissimæ. Atque illa sine cunctatione visum narrauit P. Francisco Palmæ Rectori Collegij, cuius ad aurem solebat animi noxas eluere: mortuumque indicauit Ignatium, ac se vidisse confirmauit, adeoque natiuis eum coloribus depinxit, ac si eum antea cognouisset, quem reuera viderat nunquã. Porrò cùm eum Patrem adijt, quamuis illico rei fidem non fecit; tamen vbi diei & horæ nuncius allatus est, quo die & hora vitam hanc meliore commutarat, vera dixisse compertum est.

Anno CIↃ. IↃ. LVI. Kal. Augusti ei parentatum est frequentissimo populo, qui ad eum videndum & venerandum confluxerat. Affuit inter ceteros Bernardina quædam religiosa mulier, & magnopere pietati dedita. Hæc filiam habuit annos decem & quatuor natam, graui periculosaq; struma laborantem. Quamuis autem magnam partem facultatum suarum in adhibendas curationes absumpsisset, nõ modò tamen inanes impensas fecerat, sed etiam morbus in dies ingrauescebat. Eam illo

ipso



θῆναι, καὶ ὥσπερ ἐν οὐρανῷ δοξάζεται, οὕτως αὐτὸν καὶ ἐπὶ τῆς γῆς δοξασθῆναι.

Ἐν τῇ αὐτῇ τοῦ χρόνου ῥοπῇ, ὅτε ὁ Ἰγνάτιος ἐν Ῥώμῃ ἀπήλλαξεν, ἐν Βονωνίᾳ στίλβων καὶ λαμπρὸς ἐφάνη τῇ εὐγενεῖ οἰκοδεσποίνῃ χηρευούσῃ ὀνόματι Μαργαρίτῃ Διλαίᾳ, καὶ πρὸς τὴν ἑταιρίαν εὐμενέστατα διακειμένῃ. αὕτη δὲ ἀνυπερθέτως τὴν ὀπτασίαν ἐπήγγειλε τῷ πατρὶ Φραγκίσκῳ Πάλμῃ τῷ τοῦ συλλόγου προστάτῃ, ᾧ τινι τὰς ἁμαρτίας ἐξομολογῆσαι εἰώθει· καὶ ἐγνώρισεν αὐτῷ τὸν θάνατον τοῦ Ἰγνατίου, καὶ διισχυρίσατο αὐτῇ φανῆναι, τοῖς φυσικοῖς χρώμασιν οὕτως αὐτὸν, καίπερ πρότερον οὐδέποτε ὀφθέντα, ἀποτυπώσασα, ὥσπερεὶ αὐτὸν ἐπέγνω. καίτοι μὲν τῇ προσερχομένῃ αὐτῇ ὁ πατὴρ εὐθέως οὐκ ἐπίστευσεν, ὅμως τῆς ἡμέρας καὶ ὥρας, ᾗ τοῦτον τὸν βίον ἀντὶ βελτίονος ἀντικατηλλάξατο, ἐπαγγελθείσης, φανερὰ ἦν ἀληθῆ εἰρηκυῖα.

Ἔτει αφνϛ', τῇ α' τοῦ Αὐγούστου πολλοῦ πλήθους εἰς τὴν τοῦ Ἰγνατίου ταφὴν φοιτῶντος, τοῦ αὐτὸν ἰδεῖν καὶ θεραπεῦσαι, παρεγίνετο μεταξὺ ἄλλων Βερναρδίνη τις γυνὴ εὐλαβὴς οὖσα, καὶ τοῖς τοῦ θεοῦ σφόδρα προσκειμένη. ἣ θυγατέρα εἶχε τεσσαρακαίδεκα ἔτη γεγονυῖαν, ὑπὸ τῆς χοιράδος δεινῶς καὶ ἐπικινδύνως νοσοῦσαν. εἰ δὲ καὶ μέγα μέρος τῆς οὐσίας αὐτῆς εἰς ἰάσεις προσανήλωσεν, ὅμως μὴ μόνον πᾶν μάτην ἐδαπάνησεν, ἀλλὰ καὶ τὸ νόσημα καθ' ἑκάστην ἐβαρύνθη. ἐκείνην

αὐθήμε-

ipſo die mater ad templum Societatis ad-
duxit, vt corpus B. Patris contingeret. Spe-
rabat enim eius precibus à Deo filiæ reſti-
tutum iri valetudinem, quam à medicorũ
ope exſpectare non poterat. Sed tanta po-
puli frequentia conuenerat, vt quidquid
agerent mater & filia, viæ tamen per con-
fertam turbam faciendæ modum inuenire
non poſſent, & ad corpus iam loculo in-
cluſum accedere. Cùm viderent igitur ſe
operam luſiſſe, ac vehementer dolerent,
conatæ ſunt ſaltem aliquid reliquiarum
B. Patris impetrare, quod acceptum ma-
gna fide, magnaque pietate filiæ collo,
ſtrumisque atque vlceribus, quæ iam pęnè
in cancrum eruperant, mater admouit. Ec-
ce tibi res ſanè mirabilis. Nam Dei miſe-
ſericordia meritiſque Ignatij filia priſti-
nam valetudinem momento temporis
conſecuta eſt, omnibus rei nouitate atto-
nitis, magnoque velut teſtimonio ſancti-
tatis eius, quod etiam mortuus morbos ab
ijs depelleret, qui eius fidem religioſè &
ſuppliciter implorabant.

Anno CIↃ. IↃ. LXIX. prid. Kal. Aug. qui
dies eſt B. Patri natalis, quo primum cor-
pus eius translatum eſt: quidam Dei ſer-
uus in eius ſepulcro duorum dierum ſpatio
ſuauiſſimum concentum & ſymphoniam
continenter audiuit. Romæ Druſilla Tor-
ſellina



αὐθήμερον ἡ μήτηρ εἰς τὸν τῆς ἑταιρείας ναὸν προσή-
γαγεν, ἵνα τοῦ σώματος τοῦ μακαρίου πατρὸς
ἐφάψηται. ἤλπισε γὰρ τῇ αὐτοῦ δεήσει τὴν
θυγατέρα παρὰ τοῦ θεοῦ τῆς ὑγιείας τεύξεσθαι,
ἣν παρὰ τῆς τῶν ἰατρῶν θεραπείας προσδο-
κᾶν οὐκ ἠδύνατο. τοσοῦτο δὲ τῶν ἀνθρώπων
πλῆθος συνῆλθεν, ὥστε μηδενὶ τρόπῳ τὴν μητέρα
καὶ τὴν θυγατέρα δι' ἀθρόου λαοῦ διήκειν, μηδὲ
τοῦ σώματος ἤδη εἰς τὴν σορὸν ἐγκλεισθέντος
ἅψασθαι δυνηθῆναι. αἰσθόμεναι δὲ τῆς ματαιοπο-
νίας, καὶ σφόδρα λυπηθεῖσαι, ἐπεχείρησαν λει-
ψάνου γέ τινος τοῦ μακαρίου πατρὸς ἐπιτυχεῖν, ὃ
ληφθὲν μεγάλῃ πίστει καὶ εὐλαβείᾳ τῷ τῆς θυγα-
τρὸς τραχήλῳ, χοιράσι καὶ ἕλκεσιν ἤδη σχεδὸν
κεκαρκινωμένοις, ἡ μήτηρ προσέθηκεν. ἰδοὺ δὲ
θαῦμα μέγιστον. τῷ γὰρ τοῦ θεοῦ ἐλέει καὶ ταῖς
τοῦ Ιγνατίου ἀξίαις ἡ θυγάτηρ ἐν ἀκαρεῖ χρόνῳ
ἀνέῤῥωσε, πάντων τῇ τοῦ πράγματος καινότητι
καὶ μεγάλῃ μαρτυρίᾳ τῆς ἁγιότητος αὐτοῦ ἐκ-
πληχθέντων, ὅτι καὶ ἀποθανὼν τὰς νόσους τῶν τὴν
ἐπικουρίαν αὐτοῦ εὐσεβῶς καὶ ἱκετικῶς ἐπικαλούν-
των, ἐξιᾶτο.

Τῷ δ' ἔτει αφ' ξθ', τῇ λα' τοῦ Ιουλίου τῇ γενε-
θλίᾳ τοῦ μακαρίου πατρὸς, ᾗ τὸ σῶμα αὐτοῦ πρῶ-
τον μετηνέχθη, δοῦλός τις τοῦ θεοῦ ἐν τῷ τάφῳ
αὐτοῦ δύο ἡμέρας ἡδύστης συμφωνίας συνεχῶς
ἤκουσεν. ἐν τῇ Ρώμῃ ἡ Δρούσιλλα Τορσελλίνη
χαλε-

sellina ægra morbo graui, cùm æstu febrique iactaretur, ad eamque grauissimus capitis dolor accederet, multa remedia quæsiuit, in brachijs, in naribus, in capite incidendas sibi venas curauit. Sed his omnibus morbi vis non modo non leuabatur, sed etiam gliscebat in dies. Vbi verò fronti particulam ossis B. Patris imposuit, repentinò conualuit.

Alia mulier Olympia Norina tanto cruciatu doloris oculorum afflicta fuit, vt trium mensium spatio videndi sensum amitteret. Adiungebatur insuper continua febris & acerbus capitis dolor, qui nullam partem neque diurnæ, neque nocturnæ quietis eam capere patiebatur. Inter horum maxima cruciamenta morborum autographum B. Patris nomen allatum, quo mox ad frontem oculosque applicato, protinus vidit, omnique febris & doloris molestia liberata est.

In eadem vrbe anno CIↃ.IↃ.XCVII. Hieronymus Gabrielli, puer nobilis septimum agens ætatis annum, in malignam febrim incidit & lateris dolorem, exigua spe vitæ relicta, qui eodem scripto ab Ignatio nomine recreatus, ex morbo periculoque ereptus est.

Anno CIↃ.IↃ.XCIX. Ioanna Vrsina Corneliæ Vrsinæ, ducis Cæsi filia, tanta tussi quatie-



χαλεπῶς νοσοῦσα, πυρέσσουσά τε καὶ δεινῶς κεφαλαλγοῦσα πολλὰ φάρμακα ἐζήτησε, καὶ ἐν τοῖς βραχίοσιν, ἐν ταῖς ῥισὶ, καὶ ἐν τῇ κεφαλῇ ἐφλεβοτομήθη. καίτοι τούτοις πᾶσιν ἡ τοῦ νοσήματος χαλεπότης μὴ μόνον οὐκ ἐκουφίζετο, ἀλλὰ καὶ ὁσημέραι ηὐξάνετο. τῷ δὲ μετώπῳ μόριον τοῦ ὀστέου τοῦ μακαρίου πατρὸς ἐπιθεῖσα ἐξαίφνης ἐῤῥάϊσεν.

Ἄλλη γυνὴ Ὀλυμπία Νορίνη τοσαύτην ὀφθαλμίαν ἔπαθεν, ὥστε τρεῖς μῆνας τῆς ὄψεως στερηθῆναι. ἔτι δ᾽ ἐλυπήθη ὑπὸ συνεχοῦς πυρετοῦ καὶ δεινῆς κεφαλαλγίας, μήτε ἡμέρας, μήτε νυκτὸς αὐτὴν ἡσυχάσαι ἐασάσης. μεταξὺ τούτων μεγίστων ἀλγέων, τοῦ μακαρίου πατρὸς ὀνόματος αὐτογράφου προσκομισθέντος, καὶ εὐθέως τῷ μετώπῳ καὶ τοῖς ὀφθαλμοῖς προσαφθέντος, παραυτίκα ἀνέβλεψε, παντὸς πυρετοῦ καὶ ἀλγήματος ἀπαλλαχθεῖσα.

Ἐν τῇ αὐτῇ πόλει, ἔτει ᾳ φ' ϛ ζ', ὁ Ἱερώνυμος Γαβριήλλιος, παῖς εὐγενὴς, ἔτη ἑπτὰ γεγονὼς, χαλεπῷ πυρετῷ καὶ πλευρίτιδι περιέπεσεν, ὀλίγην ἐλπίδα τῆς ζωῆς ἔχων· ὃς τῷ αὐτῷ ὀνόματι αὐτογράφῳ τοῦ Ἰγνατίου ἐκ τῆς νόσου αὐτὸν ἀναλαβὼν, τὸν κίνδυνον διέφυγεν.

Ἔτει ᾳ φ' ϛ θ', Ἰωάννη Οὐρσίνη, τῆς Κορνηλίας Οὐρσίνης ἀρχούσης τοῦ Καίσου θυγάτηρ οὕτως ἔβηττεν,

quatiebatur, vt respirare non posset, nedũ lac sugere. Dux mater eam Patri Ignatio commendauit, obsecrauitque vt ei pristinam valetudinem impetraret: atque vt omnes nossent id beneficij ab se profectum, efficeret, vt in puella repentina mutatio facta videretur. Cùm igitur filiola totam noctem diemque dimidiatum duxisset insomnem, puncto temporis in somnum incidit, mox tussis depulsa est, & lac nutricis hausit infantula. Dux autem beneficij memor, sepulcro Patris votiuam tabulam imponendam curauit.

Eodem anno Angela Ruggiera penè vnius anni spatio insolitum passa tinnitum in capite, auris dexteræ auditum perdiderat, cui simul atque aliquid reliquiarum B. Patris imposuit, votumque nuncupauit sic extenuandi corpus inedia die eius natali, vt cibos omnes præter panem & aquam excluderet, sumendæque postridie S S. Eucharistiæ, integram exinde sanitatem recepit.

Rursus eodem anno die Lunæ, qui dies fuit XIIII. Kal. Aug. P. Michael Vasquez religiosus Societatis IESV professus, & studiorum collegij Romani præfectus, tanta doloris acerbitate lateris & renum conflictatus est, vt frigidus toto corpore sudor erumperet, & velut animam agens sensi-

busque



ἔβηττεν, ὥστε οὐχ ὅπως ἀναπνεῖν, ἀλλ' οὐδὲ θηλάζειν δύνασθαι. ἡ ἄρχουσα μήτηρ αὐτὴν τῷ πατρὶ Ἰγνατίῳ συστήσασα, ἐδεῖτο αὐτὸν τῇ θυγατρὶ τὴν πρόσθεν ὑγίειαν ἀνύσαι, καὶ, τοὺς πάντας γνῶναι, ὅτι τοῦτο εὐεργέτημα παρ' αὐτοῦ ἔλαβε, διαπράξασθαι, ὥστε ἐν τῷ κορασίῳ αἰφνίδιον μεταβολὴν φανῆναι. θυγάτριον οὖν νύκτα καὶ ἡμίσειαν ἡμέραν ἄϋπνον γενόμενον, ἐν ἀκαρεῖ εἰς ὕπνον ἐνέπεσε, καὶ τῆς βηχὸς αὐτίκα ἀπαλλαχθὲν ὑπὸ τῆς τροφοῦ ἐθηλάσθη. ἡ δὲ ἄρχουσα μήτηρ τοῦ ἀπομνημονεῦσαι τὴν εὐεργεσίαν, ἐν τῷ τάφῳ τοῦ πατρὸς πίνακα ἀναθηματικὸν ἵδρυσθαι ἐκέλευσε.

Τῷ αὐτῷ ἔτει Ἀγγέλη Ῥουγγιέρα, σχεδὸν δι' ὅλου ἔτους ἀήθη ἠχὴν ἐν τῇ κεφαλῇ παθοῦσα, τὴν ἀκοὴν τοῦ δεξιοῦ ὠτὸς ἀπώλεσεν, ᾧ τινι λείψανόν τι τοῦ μακαρίου πατρὸς ἐπιθεῖσα, καὶ εὐχὴν ποιησαμένη τοῦ τὸ σῶμα ἐν τῇ γενέθλῃ αὐτοῦ τῇ ἀσιτίᾳ οὕτω τείρειν, ὥστε πάντα βρώματα πλὴν ἄρτου καὶ ὕδατος ἐκκλεῖσαι, καὶ τῇ ὑστεραίᾳ τὴν ἁγιωτάτην εὐχαριστίαν λαβεῖν, ἐκ τούτου ὅλης τῆς ὑγιείας ἐπέτυχε.

Πάλιν τῷ αὐτῷ ἔτει τῇ τῆς σελήνης ἡμέρᾳ, ἥτις ἦν ἐννεακαιδεκάτη τοῦ Ἰουλίου, ὁ πατὴρ Μιχαὴλ Βάσκιος ὁ τῆς ἑταιρίας τοῦ Ἰησοῦ ἐπαγγελτής, καὶ τῆς παιδείας τῆς ἐν τῷ συλλόγῳ Ῥωμαϊκῷ ἐπιστάτης, τοσαύτῃ νόσῳ τῆς πλευρᾶς καὶ τῶν νεφρῶν ἐλήφθη, ὥστε ὅλον τὸ σῶμα ψυχρὸν ἱδρῶτα ἱδρῶσαι καὶ ὡς λειποψυχῶν καὶ ἀναισθητῶν

L

τελευτᾷν

busque destitutus moriturus putaretur. Multa remedia leniendo malo adhibebantur, sed inani conatu: quinimo quò plura medicamenta fiebant, tantò omniū iudicio maiora incrementa sumebat. Igitur B. Patris reliquias afferendas ad se curauit, & magna religione atque ex intimo animi sensu eidem se comendans, ad eam partem, quâ acrius torquebatur, admouit, & illinc omnis cedere dolor, aliasque partes inuadere quasi fugeret persequentem, quas cùm eædem illæ tangerent, ex illis etiam depellebatur, donec tandem vndequaque adhibitis ille in pristinam valetudinem restitutus est. Nam quarta vel quinta pòst hora, cruenta calculorum fragmenta, velut carnis particulis inuoluta sine sensu doloris eiecit. Sententia medicorum fuit, eum lapidem sacrorum pignorum virtute fuisse confractum, & quoniam acutus erat, pupugisse meatus atque læsisse. Aegrotus nulla interiecta mora repugnantibus multis, surrexit è lectulo. Eā enim morbi depulsionem non humanam, sed diuinam esse iudicauit, propterea absolutam atque perfectam, nec ex eo quidquam esse metuendum. Eidem Patri Michaeli Vasquez cura mandata fuerat agendi cum purpuratis Patribus ijs, qui ritibus ecclesiasticis præsunt, de Ignatio in numerum





τελευτᾷν ἐδόκει. ἀλλὰ μὴν καὶ μετὰ τὴν πολλῶν φαρμάκων χρῆσιν, τῷ τὴν νόσον θεραπεῦσαι, ἅπας πόνος μάταιος ἦν· μενοῦνγε, ὅσῳ πλείους θεραπεῖαι ἐγίνοντο, τοσούτῳ μείζων ἡ νόσος κατὰ τὸ δοκοῦν πᾶσιν ἀπέβαινε. Διόπερ τὰ τοῦ μακαρίου πατρὸς λείψανα προσκομισθῆναι δεηθείς, καὶ σὺν μεγάλῃ εὐσεβείᾳ καὶ ἐξ ὅλης τῆς ψυχῆς ἑαυτὸν ἐκείνῳ συστήσας, αὐτὰ ἐκεῖσε προσήγαγεν, ὅπου μᾶλλον ἐδεινοπαθεῖτο· καὶ ἐκεῖθεν μὲν πᾶν ἄλγος παραχωρῆσαν, ἄλλα μέρη κατέλαβεν, ὥσπερ ἂν εἰ τὸν διώκοντα φύγοι, τῶν δὲ λειψάνων αὐτοῖς προσαχθέντων, κἀκεῖθεν ἀπώσθη, μέχρι οὗ τελευταῖον, αὐτῶν πανταχοῦ ἐπιτεθέντων, ὁ πατὴρ ὅλως ἀνεῤῥάϊσε. μετὰ τὴν γὰρ τετάρτην ἢ πέμπτην ὥραν αἱματώδη κλάσματα τοῦ λίθου ὥσπερ τῆς σαρκὸς μέρεσιν ἐνειλημένα ἀναλγήτως ἐξέβαλε. κατὰ τὴν γὰρ γνώμην τῶν ἰατρῶν ὁ λίθος τῇ τῶν ἁγίων λειψάνων δυνάμει κατερράγη, καὶ ὀξὺς ὤν, τοὺς πόρους κατανύξας ἐκάκωσεν. ὁ νοσῶν, πολλῶν ἀντιλεγόντων, ἀμελλητὶ ἐκ τῆς κλίνης ἀνέστη. ταύτην γὰρ τῆς νόσου ἄπωσιν οὐκ ἀνθρωπίνην, ἀλλὰ θείαν, καὶ διὰ τοῦτο τελείαν τε καὶ ἀκίνδυνον εἶναι ἐνόμισεν. ὁ αὐτὸς πατὴρ Μιχαὴλ Βάσκιος ἐπιστεύθη τὸ πράττειν πρὸς τοὺς Καρδιναλίους τοὺς θεσμοῖς τοῖς ἐκκλησιαστικοῖς ἐπιστατοῦντας, περὶ τοῦ τὸν Ιγνάτιον τοῖς

rum Diuorum adscribendo: vt videri possit, Deus adeo subitum ei acutumque morbum immisisse, vt ipsemet beneficium Patris expertus, impensius ad studium consecrationis eius incumberet.

Rursus alia matrona Romana cancro laborabat qui per alteram serpebat mammam, adeoque grauis erat, vt iudicio medicorum breui moritura videretur. Ea ad B. P. sepulcrum cum oraret, euestigio sensit è cælo vim quandam ad se manare, & paucis diebus nulla facta medicina lues illa depulsa est, nullo etiam remanente vestigio. Et vir quidem eius mulieris argenteam telam, mulier verò papillam item argenteam inauratam sepulcro donarunt, in memoriam accepti beneficij sempiternam.

Alia quædam Orintia Casali prægnans, & cui nulla vitæ spes ostendebatur, quod in vtero foetus esset extinctus, cum pectori chirographum B. Patris nomen apposuisset, illicò mortuum onus effudit, incolumisque permansit. Sed alia miracula edita Romæ prætermittamus, quorum penè infinita est copia; aliasque prouincias Italiæ percurramus.

In agro Anconitano domus est Diuæ Mariæ Lauretanæ, in qua sanctissima Virgo nata, æternumque Dei Verbum nostrâ

sibi



ἁγίοις προσγράψαι· ὥστε δοκοῦν τὸν θεὸν νόσημα οὕτως αἰφνίδιον καὶ δεινὸν εἰς αὐτὸν εἰσβαλεῖν, ἵνα τὸ τοῦ πατρὸς εὐεργέτημα γνωρίσας, ἐπιμελέστερον περὶ τῆς ἀνιερώσεως αὐτοῦ σπουδάσῃ.

Πάλιν ἄλλη οἰκοδέσποινα Ῥωμαϊκὴ τῷ καρκινώματι εἴχετο, ὅ,τι ἤδη τὸν ἕτερον μαστὸν οὕτω δεινῶς κατέλαβεν, ὥστε κατὰ τὴν κρίσιν τῶν ἰατρῶν ἐν τάχει ἀποθανεῖν ἤμελλεν. αὕτη δὲ ἐπὶ τὸ μνημεῖον τοῦ μακαρίου πατρὸς προσευχομένη ᾔσθετο δύναμίν τινα οὐρανόθεν κατελθοῦσαν. καὶ ὀλίγαις ἡμέραις ἄνευ φαρμάκου ἡ ἐκείνη νόσος ἀπώσθη, μηδενὸς αὐτῆς ἴχνους καταληφθέντος. καὶ ὁ μὲν τῆς γυναικὸς ἀνὴρ ἀργυροῦν ὕφασμα, ἡ δὲ γυνὴ ἀργυροῦν μαστὸν ἐπικεχρυσαμένον εἰς τὴν τοῦ ληφθέντος εὐεργετήματος μνήμην αἰώνιον ἐδωρήσαντο.

Ἄλλη τις Ὀρεντία Κασαλία ἐγκύουσα, καὶ μηδεμίαν ἐλπίδα τοῦ βίου ἔχουσα, διότι τὸ κύημα ἐν τῇ κοιλίᾳ διεφθάρη, ἡνίκα τῷ αὐτῆς στήθει τὸ τοῦ μακαρίου πατρὸς χειρόγραφον ὄνομα ἐπέθη, παραχρῆμα τὸ φορτίον θνητὸν ἐξέχευσε σῶα διαμείνασα. καίτοι ἄλλα θαύματα ἀναρίθμητα, ἐν τῇ Ῥώμῃ γινόμενα παραλιπόντες, ἄλλας ἐπαρχίας τῆς Ἰταλίας διέλθωμεν.

Ἐν τῇ χώρᾳ τοῦ Ἀγκῶνος οἰκία ἐστὶ τῆς ὁσίας Μαρίας Λαυρητανίας, ἐν ᾗ ἁγιωτάτη παρθένος ἐτέχθη, καὶ ὁ αἰώνιος λόγος τοῦ θεοῦ τὴν

ἀνθρωπεία

ſibi humanitatem induxit, ibi puer natus annos ſex in grauiſſimum morbum incidit, cumque iam medici deſperauerant, cùm porrecta illi particula tunicæ B. Ignatij, eoque ſuppliciter inuocato, momento conualeſcit, neque vires priſtinas vlla ex parte deſiderat.

Mulier Recanati, quod oppidum milliario diſtat Laureto, grauiſſima febri exæſtuans, etiam ex ſtomacho cùm vehementiſſimè laboraret, B. Patri ſupplicauit, & mox febris remiſit omniſque doloris acerbitas.

Adoleſcens de vita periclitabatur, magna ſanguinis continenter è naribus fluente copia; at qui nullo remedio ſiſti poterat, cum reliquiæ Patris ſuo contactu repreſſerunt.

Mulieri extremo dolore cruciatæ mammillarum, propter vlcus innatum, eædem adhibitæ reliquiæ ſaluti fuerunt.

Eadem in vrbe Horatius Leopardus vir nobilis, anno CIↃ. IↃ. XCIX, menſe Octobri, calculi oppreſſus doloribus, & obſtructis, obturatiſque meatibus illis, quibus humor à renibus & veſica profunditur, in ſummum vitæ diſcrimen incidit, & iam humana nulla remedia ſuppetebant. Igitur ſanctiſſimæ Virgini ſupplicauit, vt B. Ignatij meritis curaretur, ſimulq; Patris patroci-



ἀνθρωπότητα ἡμῶν ἐνεδύσατο· ἐκεῖ παιδίον ἓξ ἔτη γεγονὸς, χαλεπωτάτῃ νόσῳ ληφθὲν, καὶ παρὰ ἰατρῶν ἀπογνωσθὲν, προτεταμένης αὐτῷ μερίδος τοῦ χιτῶνος τοῦ μακαρίου Ιγνατίου, καὶ αὐτοῦ ἱκετικῶς ἐπικεκλημένου, ἐν ἀκαρεῖ ἀνέρρωσε, τῆς πρόσθεν εὐρωστίας μηδαμῶς ἀποστερηθέν.

Εν τῷ Ρεκανάτῳ, ὃ πόλισμα τοῦ Λαυρήτου ἓν μιλιάριον ἀπέχει, γυνὴ δεινῶς πυρέττουσα καὶ κακοστόμαχος οὖσα, τὸν μακάριον πατέρα ἱκέτευσε, καὶ παραυτίκα ὁ πυρετὸς, καὶ πᾶσα δεινότης τοῦ ἄλγους παρήκμασε.

Νέος τις διὰ τὴν μετὰ τοῦ αἵματος συνεχῆ καὶ μεγάλην ἐκροὴν τὴν ἐκ τῶν ῥινῶν, περὶ τοῦ βίου ἐκινδύνευσε· τὴν δὲ αἱμόρροιαν μηδεμιᾶς θεραπείας παύεσθαι δυναμένην, τὰ τοῦ πατρὸς λείψανα τῇ αὐτῶν ψηλαφήσει ἐπεῖχε.

Γυναῖκα, διὰ τὸ ἐγγεγενημένον ἕλκος ἐσχάτως τοὺς μασοὺς ἀλγοῦσαν, ταὐτὰ λείψανα προσενεχθέντα ἐθεράπευσεν.

Εν τῇ αὐτῇ πόλει ὁ Ωράτιος Λεόπαρδος, ἀνὴρ εὐγενὴς, ἔτει α φ' ς θ', τῷ μηνὶ τοῦ Οκτωβρίου λιθιάσας, ἐμφραγέντων καὶ ἐπικλεισθέντων τῶν πόρων, δι' ὧν ἡ ἰκμὰς ἀπὸ τῶν νεφρῶν καὶ τῆς κύστεως ἐκχεῖται, τὸν ἔσχατον κίνδυνον ἐκινδύνευσε, μηδεμιᾶς ἀνθρωπίνης ἰάσεως ἤδη προσγινομένης. Διόπερ τὴν ἁγιωτάτην παρθένον ἱκετεύσας ταῖς τοῦ μακαρίου Ιγνατίου ἀξίαις θε-

trocinium implorauit: res mira, ipso temporis momento mitigatur doloris acerbitas, vrinam effundit, modicoque interuallo granorum arenæ copiam, & lapidum frusta; nec vllum denique remansit morbi vestigium.

Ibidem eodem anno & mense Lucandia, Pompeij Georgij coniux, quam quintum iam mensem inualetudo grauissima cordisque palpitatio iactarat, particulæ vestis eiusdem appositione sanata est. Eadem mulier cùm esset nonum mensem grauida, fluxissentq; illi non minus quam viginti sanguinis libræ, ita debilitata est, vt quodammodo sensus amitteret, salutem tamen suam vt potuit, B. Patri commendauit, quo facto & fluxus ille sanguinis stetit, & illa ad se redijt. Nec ita magnò interuallo cum prorsus eniti non posset; rursus inuocato Ignatio extinctum sine dolore fœtum emisit, incolumis.

Maceratæ, quod oppidum tribus ferme milliarijs à Laureto disiunctum est, mense Nouembri, anno CIↃ.IↃ.XCIX. Dominæ Elisabethæ Moronæ, quæ eiusdem vrbis Episcopi neptis est, animam agenti sine spe longioris vitæ Pater apparuit, eique valetudinem illico restitutum iri promisit, simul iussit eam è lecto surgere, Deoq; pro reddita sibi sanitate gratias agere.

Neapoli



παραμυθῆσαι, ἅμα τὴν τοῦ πατρὸς συνηγορίαν ἐπεκάλεσε. καὶ ἰδοὺ θαῦμα· ἐν ἀκαρεῖ χρόνου ἡ τοῦ ἄλγους σφοδρότης πραΰνεται, καὶ αὐτὶς οὐρήσας μετ᾽ ὀλίγον τῶν ψαμμίων πλῆθος καὶ κλάσματα λίθων ἐξέχει, καὶ μηδὲν ὕστερον ἐκ τοῦ νοσήματος κατελείφθη.

Αὐτόθι τῷ αὐτῷ ἔτει καὶ μηνὶ ἡ Λουκανδία τοῦ Πομπηίου Γεωργίου γυνή, ἣν ἤδη πέμπτον μῆνα νόσος δεινοτάτη καὶ τῆς καρδίας παλμὸς ἐκάκωσε, μορίῳ τῆς ἐσθῆτος τοῦ μακαρίου Ιγνατίου ἐπιτεθέντι ἰάθη. ἡ αὐτὴ γυνὴ ἐννέα μῆνας ἔγκυος γενομένη, καὶ περὶ εἴκοσι λίτρας τοῦ αἵματος ἐκχέασα οὕτω ἠσθένησεν, ὥστε πως ἀναισθητῆσαι· αὐτῆς δὲ τὴν σωτηρίαν αὐτῆς, καθ᾽ ὅσον ἠδύνατο, τῷ μακαρίῳ πατρὶ καταστησάσης, ἥτε αἱμόρροια ἐκείνη ἐπέστη, καὶ αὐτὴ αὑτὴν ἀνέλαβε. βραχὺ δὲ ὕστερον οὐχ οἵα τ᾽ οὖσα τεκεῖν, πάλιν ἐπικαλέσασα τὸν Ιγνάτιον, τὸ κύημα ἀποθανοῦν ἀνωδύνως σῶα τέτεχεν.

Ἐν τῇ Μακεράτῃ, πολίσματι ὡς τρία μιλιάρια τοῦ Λαυρήτου ἀπέχοντι, τῷ τοῦ Νοεμβρίου μηνί, ἔτει αφ' ϛ θ', τῇ δεσποίνῃ Ελισάβετ Μωρώνῃ τῇ τοῦ ἐπισκόπου τῆς αὐτῆς πόλεως ἀδελφιδῇ ἄνευ ἐλπίδος τοῦ πολυχρονιωτέρου βίου ἤδη λειποψυχησάσῃ ὤφθη ὁ πατήρ, καὶ τὴν ὑγίειαν εὐθέως ἐσομένην ὑποσχόμενος, αὐτὴν ἐκ τῆς κλίνης ἀναστῆναι, καὶ ἅμα τῷ θεῷ ὑπὲρ τῆς ἀποδοθείσης εὐεργεσίας εὐχαριστῆσαι, ἐκέλευσεν.

L 5 Ἐν τῇ

Neapoli mense Iunio, anno cIↄ. Iↄ.xcix. Domina Ioanna Aragonensis Princeps Castri Bertrandi, Dux Terrænouæ grauissimis pressa incommodis dextera intumescente mammilla, adhibitisque nequidquam spatio quatuor mensium multis medicamentis, ad aliud remedium confugit. imaginem Patris magna in ipsum pietate fiduciaque mammillis adiunxit, & eodem die tumor omnis dolorque abscessit. Anno igitur sæculari sacro cIↄ. Iↄ. c. Romam profecta gratias egit, & sepulcro B. Patris argenteam tabulam & quatuor cereos apponendos curauit.

Nolæ anno cIↄ. Iↄ. xcix. mense Nouembri, Franciscus Blasius, vir nobilis, pestilente febri vexatus, ad quam accedebant intolerabiles capitis & stomachi dolores, iudicioq; medicorum de vita periclitans: admonitus à matre Zenobia Tolfia, B. Patris officulum ad caput applicauit, eoque inuocato omni sensu doloris, & incommodo liberatus est.

Lecci ciuitate Apuliæ in regno Neapolitano fœmina, Patientia nomine, Dominæ Antoninæ Cubellæ famula, adeo crudeli lateris dolore correpta est, vt desperata vita tantum non ei sepulcrum effoderetur. Allata interim sunt illi sacra pignora B. Patris Ignatij: quibus applicitis, sua-

uem



Ἐν τῇ Νεαπόλει μηνὶ τοῦ Ἰουνίου, ἔτει α φ' ϛ θ', δέσποινα Ἰωάννη Ἀραγονιαία, ἄρχουσα Κάστρου τοῦ Βερτράνδου, καὶ ἡγεμὼν τῆς λεγομένης νέας γῆς, ἐκ τῆς ἀνοιδήσεως τοῦ δεξιοῦ μαστοῦ δεινότατα κακοπαθήσασα, καὶ τέσσαρας μῆνας πολλοῖς φαρμάκοις μάτην χρησαμένη, τελευταῖον πρὸς ἄλλην θεραπείαν κατέφυγε. τὴν γὰρ εἰκόνα τοῦ πατρὸς σὺν μεγάλῃ πρὸς αὐτὸν εὐσεβείᾳ καὶ πεποιθήσει προσαγαγοῦσα, αὐθήμερον παντὸς οἰδήματος καὶ ἄλγους ἀπηλλάγη. ἔτει τοίνυν αἰωνίῳ ἱερῷ α φ' χ', εἰς τὴν Ῥώμην πορευθεῖσα ηὐχαρίστησε, καὶ τῷ μνημείῳ τοῦ μακαρίου πατρὸς ἀργυροῦν πίνακα, καὶ τέσσαρας κηροὺς ἐπιτεθῆναι προσέταξεν.

Ἐν τῇ Νώλῃ, ἔτει α φ' ϛ θ', μηνὶ Νοεμβρίῳ, ὁ μὲν Φραγκίσκος Βλάσιος, ἀνὴρ εὐγενὴς ὀλεθρίως πυρέττων, καὶ ὑπερελθούσης ἀφορήτου κεφαλαλγίας καὶ κακοστομαχίας, κατὰ τὴν τῶν ἰατρῶν γνώμην, τοῦ ζῆν ἐκινδύνευσεν· ὑπομνησούσης δὲ τῆς μητρὸς Ζηνοβίας Τολφίας, ἱστίελον τοῦ μακαρίου πατρὸς τῇ κεφαλῇ ἐπιθεὶς, καὶ αὐτὸν ἐπικαλέσας, πάσης ὀδύνης καὶ κακοπαθείας ἀπολέλυται.

Ἐν τῷ Λέκκῳ πόλει τῆς Ἀπουλίας ἐν τῇ τῆς Νεαπόλεως βασιλείᾳ, γυνὴ, ὀνόματι Παπιεντία, τῆς δεσποίνης Ἀντωνίνης Κουβέλλης παιδίσκη, τοσαύτῃ πλευρίτιδι ἐλήφθη, ὥστε ἀπεγνωσμένου τοῦ βίου, μόνον οὐχὶ τὸν τάφον ὀρυχθῆναι. ἐν τῷ δὲ μεταξὺ τὰ ἱερὰ λείψανα τοῦ μακαρίου πατρὸς Ἰγνατίου προσεκομίσθη, ὧν ἐπιτεθέντων, εἰς

ὑγιεί

uem in somnum incidit, quem ante capere nullo modo poterat, in quo & eundem P. vidit veste sacerdotali indutum, cui ille, filia, inquit, à Deo opem pete: nam ex morbo sanam te faciet: qua voce audita, mox valens lætaque surrexit.

In eodem oppido puer trimulus, Baronis Beglibonis filius, è sinu nutricis fortuitò excussus in terram, eo casu dexterũ crus grauiter offendit, quem lapsum quia nutrix sibi metuens parentes celauerat, adeo exulceratum est malum, vt puero semel & iterum, irrito quidem labore, crus fuerit incidendum. Porro cum tertiam incisionem experiri periculosum videretur, pater filio metuens, quem febri ac vulnere deficientem videbat, ad collegium Societatis confugit, reliquias B. Patris accepit, addiditque infanti. Interea chirurgi crus tertiò rescindere parati, puerum meliori loco deprehenderunt, qui paucis diebus, curato vulnere, omni est periculo liberatus.

Pater è Societate Natalis Masuca nauigans in Siciliam captus est à Turcis, ac sæua tempestate coorta fluctibus absorberi timuit, at fidem B. Patris obtestatus, protinus hanc vocem audiuit: Esto securus, nec enim hac tempestate mergeris, nec deueheris ad Turcas. Itaq; tempestas sedata, nauigia-



ὕπνον ἡδέα κατηνέχθη, οὗ πρότερον τυχεῖν μηδαμῶς ἠδύνατο, ἐν ᾧ τὸν αὐτὸν πατέρα ἐσθῆτα ἱερατικὴν ἐνδεδυμένον ἑωράκει· ὃς αὐτῇ εἶπε, θύγατερ, τοῦ θεοῦ τὴν βοήθειαν δεήθητι, ἐκ τῆς γὰρ νόσου σε ἰάσεται. ἧς φωνῆς ἀκούσασα, εὐθέως ὑγιὴς καὶ εὔθυμος ἀνέστη.

Ἐν τῷ αὐτῷ πολίσματι παῖς τριέτης, υἱὸς τοῦ βάρωνος Βελγίβωνος, ἐκ τοῦ τῆς τροφοῦ κόλπου τύχῃ εἰς τὴν γῆν ἐκπεσών, δεινῶς τὸ δεξιὸν σκέλος ἐβλάβη. καὶ ἡ μὲν τροφὸς περὶ ἑαυτῆς φοβηθεῖσα τὸ συμβεβηκὸς τοὺς γονεῖς ἔκρυψε· τὸ δὲ κακὸν οὕτως ηὐξήθη, ὥστε δεῖν τῷ παιδὶ τὸ σκέλος, καίπερ μάτην, δὶς ἐπιτεμεῖν. δόξαν δὲ αὐτοῖς ἐπικίνδυνον εἶναι τὴν τρίτην τομὴν πειρᾶσθαι, ὁ πατὴρ περὶ τοῦ υἱοῦ δεδιώς, ὃν ἐκ τοῦ πυρετοῦ καὶ τραύματος ἐξασθενοῦντα ἔβλεψε, πρὸς τὸν σύλλογον τῆς ἑταιρίας κατέφυγε, καὶ τὰ λείψανα τοῦ μακαρίου πατρὸς δεξάμενος, αὐτὰ τῷ βρέφει ἐπέθη. ἐν τῷ μεταξὺ οἱ χειρουργοὶ ἑτοιμασθέντες τὸν παῖδα τὸ τρίτον τεμεῖν, αὐτὸν ῥᾷον ἔχοντα εὗρον, ὃς ὀλίγαις ἡμέραις, τοῦ τραύματος θεραπευθέντος, ἐκ παντὸς κινδύνου διεσώθη.

Ὁ Νατάλιος Μασοῦκας πατὴρ τῆς ἑταιρίας, ἐν τῷ ἀποπλεῖν εἰς τὴν Σικελίαν ὑπὸ τῶν τούρκων ἐλήφθη, καὶ, δεινοῦ χειμῶνος γινομένου, καταποντισθῆναι φοβηθεὶς, τὴν τοῦ μακαρίου πατρὸς βοήθειαν ἐπεκάλεσεν, εὐθέως δὲ ταύτης τῆς φωνῆς ἤκουσε· θάρρει, οὐ γὰρ τούτῳ χειμῶνι καταποντισθήσῃ, οὐδὲ πρὸς τοὺς τούρκους καταχθήσῃ. ὁ τοίνυν χειμὼν αὐτίκα παυ-

nauigiaque Turcarum apud insulam Lampadusam a Christianis erepta sunt: sic ille duplici piratarum & maris periculo ereptus portum tenuit.

Palermæ vrbe Siciliæ, Cosmas Ferier tertium agens ætatis annum medici celeberrimi filius, tanta febri ac dysenteria pressus fuit, vt pater eius vitam desperans funebrem pompam appararet, sed ei admoto vestis sacerdotalis, quæ B. Ignatij corpus attigerat, frustulo, repentè morbo leuari cœpit, & patre domesticisque mirantibus ac exultantibus, eodem die nullas amplius eius morbi reliquias sensit. Sed omittamus Italiam ac Siciliam, ad Hispaniamque veniamus.

Anno CIↃ.IↃ LXX. vel LXXI. Toleti hyberno quodam die sub noctem fœminam quandam nomine Vegam, è familia Alfonsi Villeregalis Duron, & Mariæ Torres vxoris eius, tantus lateris dolor inuasit, vt medici eadem nocte eam confiteri, sacram Eucharistiam percipere, testamentum facere iuberent, ante lucem morituram existimantes. Hoc vt audiuit vir honestus Ioannes Mesa Alfonsi Villeregalis amicus, supplex ad Deum accessit, & duo fragmenta, vnum linei pileoli, alterum corij quo stomachum P. Ignatius tegere, & ipse Ioannes Mesa ferre secum religiosè sole-



ρωτο, καὶ τὰ πλοῖα τῶν Τούρκων παρὰ τὴν νῆσον Λαμπάδουσαν ὑπὸ τῶν χριστιανῶν ἀφῃρέθη, καὶ τοῦτον τρόπον αὐτὸς διπλοῦ κινδύνου, τοῦ τε τῶν πειρατῶν, καὶ τοῦ χειμῶνος ἀπαλλαχθεὶς ἐλιμένισεν.

Ἐν Πανόρμῳ τῆς Σικελίας πόλει, ὁ Κοσμᾶς Φεριήλος τριέτης περιβοήτου ἰατροῦ υἱὸς, τοσούτῳ πυρετῷ καὶ δυσεντερίᾳ ἐνόσησεν, ὥστε ὁ πατὴρ αὐτοῦ τοῦ ζῆν ἀπελπίσας, τὰ τῆς κηδείας παρασκευάζεσθαι προσέταξε. προσαχθέντος δὲ αὐτῷ μορίου τῆς ἐσθῆτος ἱερατικῆς τῆς τοῦ σώματος τοῦ ἁγίου Ἰγνατίου ἀψαμένης, ἐξαίφνης τῆς νόσου κουφισθῆναι ἤρξατο, καὶ τοῦ πατρὸς καὶ τῶν οἰκείων θαυμαζόντων καὶ ἀγαλλιωμένων, αὐθήμερον μηδὲν ἐκ τῆς ἀρρωστίας ᾔσθετο. ἀλλὰ παραλιπόντες τὴν Ἰταλίαν καὶ Σικελίαν, εἰς τὴν Ἱσπανίαν ἔλθωμεν.

Ἔτει ᾳφ΄ ό, ἢ οα΄, ἐν τῷ Τολήτῳ, ἡμέρᾳ τινὶ χειμερινῇ περὶ τὴν νύκτα γυναῖκά τινα ὀνόματι Βέγαν, ἐκ τῆς οἰκίας τοῦ Ἀλφόνσου Βιλλερηγαλίου Δούρωνος, καὶ τῆς Μαρίας Τορραίας τῆς αὐτοῦ γυναικὸς, τοσαύτη πλευρῖτις κατέλαβεν, ὡς οἱ ἰατροὶ τῇ αὐτῇ νυκτὶ ἐκείνην ὁμολογεῖν, καὶ κοινωνεῖν, καὶ διαθήκην ποιεῖσθαι ἐκέλευσαν, νομίζοντες αὐτὴν πρὸ τῆς ἡμέρας μέλλειν ἀποθανεῖν. γνωρίσας δὲ τοῦτο ἀνὴρ σπουδαῖος ὁ Ἰωάννης Μήσας τοῦ Ἀλφόνσου Βιλλερηγαλίου φίλος, τὸν θεὸν ἱκέτευσε, καὶ δύο κλάσματα, τὸ μὲν τοῦ πιλίσκου λινοῦ, τὸ δὲ τοῦ δέρματος, ᾧ τινι τὸν στόμαχον ὁ πατὴρ Ἰγνάτιος σκέπειν, καὶ ὁ Ἰωάννης Μήσας

εὐλαβεία

solebat, ad ægrotæ mulieris latus applicuit, eoque contactu morbum depulit. Et ah, inquit illa, Domine Ioannes de Mesa, quid mecum actum est? quid est quod mihi tam repente omnem dolorem abstersit?

In vrbe Burgensi, Domina Francisca Bernui religiosa professa cœnobij S. Dorotheæ, singulari virtute mulier & admodum solitaria, magno cruciatu calculi pleuritidisque confecta, patrocinio B. Patris adiuta, vnius añi ferè spatio plusquam centum calculos maiores minoresue sine sensu doloris eiecit.

Anno verò CIƆ. IƆ. XCIII. rupta quâdam pectoris vena, sanguis eidem per os effluens sisti non poterat, donec tandem eius sacci particula, quem Pater in Monteserrato primum induit, cùm suum pauperi vestitum daret, in sinum recepta, repentè fluxus ille sanguinis repressus est, & ipsa libera incolumisque permansit.

Domina Ioanna Gangora, sacra virgo è conuentu de Huelgas, morbo languida, diploma Sedis Apostolicæ quærebat, quo cœnobio sibi liceret exire ad curandam valetudinem. Interim ad B. Ignatij patrocinium confugit, positaque ante oculos ipsius Patris imagine pristinas vires ita reuocauit, vt litteris Apostolicæ Sedis nihil sibi opus esse iudicaret.

Maria



εὐλαβείας ἕνεκα βαστάζειν εἴωθε, τῇ τῆς νοσούσης γυναικὸς πλευρᾷ προσαγαγὼν τῇ συναφείᾳ τὸ νόσημα ἠλεξήσατο, ἡ δὲ ἔφη· ὦ κύριε Ιωάννη Μησεδ, τί μοι συνέβη; τί ἐστιν, ὅτι ἐμοὶ ἅπαν ἄλγος οὕτως αἰφνιδίως ἀνασπάσατο;

Εν Βούργῃ τῇ πόλει, ἡ κυρία Φραγκίσκη Βερνυία, τοῦ τῆς ἁγίας Δωροθέας κοινοβίου μονάστρια ἐπαγγειλαμένη ἐπ' ἀρετῇ καὶ φιλερημίᾳ εὐδόκιμος, μεγάλῃ ἀλγηδόνι τῆς λιθιάσεως καὶ πλευρίτιδος ἐκπονηθεῖσα, τῇ τοῦ μακαρίου πατρὸς συνηγορίᾳ βοηθηθεῖσα σχεδὸν ἐντὸς ἔτους ἑνός, πλείους ἢ ἑκατὸν λίθους μεγάλους ἢ μικροὺς ὄντας ἀναλγήτως ἐξέβαλεν.

Ετει δὲ αφ' ϛγ', φλεβός τινος τοῦ στήθους τῇ αὐτῇ ῥαγείσης, τὸ αἷμα διὰ τοῦ στόματος ἐκρέον, ἐπέχεσθαι οὐκ ἠδυνήθη, μέχρις οὗ μορίου τοῦ σάκκου, ὃν ὁ πατὴρ ἐν τῷ Μοντεσερράτῳ πρῶτον, ὅτε τῷ πτωχῷ τὰ ἐσθήματα αὐτοῦ ἔδωκεν, ἐνεδύσατο, ἐγκολπισθέντος, ἐξαίφνης ἐκείνη αἱμόρροια ἐπέστη, καὶ αὐτὴ παντελῶς ἐσώθη.

Η κυρία Ιωάννη Γαγγόρα, τοῦ μοναστηρίου Ουελγασίου ἀσκήτρια νοσοῦσα, τῆς Αποστολικῆς καθέδρας δίπλωμα ᾔτει, δι' οὗ ἂν αὐτῇ ἐξῆν, θεραπείας ἕνεκα τοῦ κοινοβίου ἐξιέναι. ἐν τῷ δὲ μεταξὺ πρὸς τὴν τοῦ μακαρίου Ιγνατίου βοήθειαν κατέφυγε, καὶ τὴν αὐτοῦ εἰκόνα τοῖς ὀφθαλμοῖς ὑποβαλοῦσα, οὕτως ἐρρώσθη, ὡς τὰ τῆς Αποστολικῆς καθέδρας γράμματα αὐτῇ οὐκ ἀναγκαῖα ἐνόμισε.]

Μαρία

Maria Auala è Franciscana familia, grauibus animi molestijs torquebatur. Ei cõsilium datum, vt ad B. Ignatium recurreret, propterea quod is esset, qui ægritudinem animi curare posset. Orationi igitur insistens, Ignatij nomen oblita, dicebat: O Sancte Athanasi mihi diuinam opem impetra, vt his quæ patior malis eripiar. Cùm hæc diceret, hanc vocem audiuit: Non Athanasius vocatur, sed Ignatius. Esto animo secura, nam eo pro te Deum rogante, expetitam sanitatem recipies, quod & factum est.

Lanzatotus Ruffinus natione Belga, varis laborans, à medicisque desperatus, chirographo B. P. accepto ad perfectam valetudinem redijt, & surrexit è lecto, stupefactis medicis, atque ijs omnibus qui periculum nouerant. Affectus est eodem beneficio Dominus Lopes de Castro, nepos Dominæ Eleonoræ Gallæ Antistitæ cœnobij S. Dorotheæ, de cuius vita cùm medici Burgenses & Vallisoletani spem perdidissent, ad B. Ignatium tanquam asylũ confugit, vouitq; certam pecuniam egentibus se daturum, quo facto pristinam valetudinem recepit & confirmauit.

Franciscus Ortiz pastor ecclesiæ S S. Petri & Felicis vrbis Burgensis, biennium acerbam vexationem pertulerat ad crura iunctu-



Μαρία Αβαλα, ἐκ τῆς τοῦ ἁγίου Φραγκίσκου τάξεως, εἰς δεινὴν ἀθυμίαν ἐνέπεσε. ταύτῃ συμβουλεύσασιν πρὸς τὸν μακάριον Ἰγνάτιον, τὸν τοιαύτην λύπην ἰᾶσθαι δυνάμενον καταφυγεῖν. ἐν τῷ δὲ τῇ προσευχῇ προσκαρτερεῖν, ἀμνημονοῦσα τοῦ ὀνόματος τοῦ Ἰγνατίου εἶπεν· ὦ ἅγιε Ἀθανάσιε, τὴν τοῦ θεοῦ βοήθειάν μοι ἄνυσον, τοῦ τῶν κακῶν, ἅτινα πάσχω, ἀπαλλαγῆναι. ταῦτα δὲ λέγουσα ταύτης φωνῆς ἤκουσεν· οὐκ Ἀθανάσιος, ἀλλ' Ἰγνάτιος ὀνομάζεται· εὐθύμει, αὐτοῦ γὰρ ὑπὲρ σοῦ τὸν θεὸν προσευχομένου, τὴν ἐπιπόθητον ὑγίειαν ἀναλήψῃ· ὅ, τι καὶ ἐγένετο.

Λανζάρωτος Ρουφῖνος τὸ γένος Βέλγης, τοῖς ἐκβράσμασι νοσῶν, καὶ ὑπὸ τῶν ἰατρῶν ἀπεγνωσμένος, τὸ χειρόγραφον τοῦ μακαρίου πατρὸς λαβών, παντῶς ἰαθεὶς ἐκ τῆς κλίνης ἀνέστη, τῶν ἰατρῶν, καὶ τῶν ἄλλων τὸν κίνδυνον εἰδότων, ἐκπλαγέντων.

Τῆς αὐτῆς εὐεργεσίας ἐπέτυχεν ὁ κύριος Λοπήσιος ἀπὸ τοῦ Κάστρου, ἀδελφιδοῦς τῆς κυρίας Ἐλεονώρας Γάλλης ἐπιστάτιδος τοῦ κοινοβίου τῆς ἁγίας Δωροθέας, οὗ τινος σωτηρίαν ἀπελπισάντων τῶν ἰατρῶν Βουργαίων καὶ Βαλλισολεταίων, πρὸς τὸν μακάριον Ἰγνάτιον, ὥσπερ πρὸς ἄσυλον διαφυγών, ἐπηύξατο τεταγμένον ἀργύριον τοῖς πτωχοῖς δώσειν· τούτου δὲ γινομένου, ἀπὸ τῆς νόσου ἐπερρώσθη.

Φράγκισκος Ορτίζιος, πάροχος τῆς ἐκκλησίας τῶν ἁγίων Πέτρου καὶ Φήλικος τῆς πόλεως Βούργης, ἐκ τοῦ τὴν ἔμπροσθεν ὑγρότητα

συνεχῶς

iuncturasque defluente continenter humorum copia, sed eundem B. Patrem supplex adijt, & perfectam eius incommodi leuationem est consecutus.

Sacerdos ex Augustiniana familia vir grauis, & è conuentu Burgensi, prid. Id. Nouemb. anno CIƆ. IƆ. XCIX. in diœcesi Burgensi confessionem audiuit filiæ Ioannis Gomez pagani hominis puellæ duos & viginti annos natæ, ardenti febri & peste laborantis. Hortatus porro & illam vt quāto posset maximo affectu se B. commendaret Ignatio, vnaque imagine ipsius ei in sinum data, omnis subitò lues ac febris euanuit.

Ciues plerique Burgenses eadem lue correpti, haurientes aquam, in quam immersum fuerat B. Patris ossiculum, supplicantes pristinam firmitatem sunt consecuti. Ipsemet etiam Franciscus Ortiz, pastor ecclesiæ S S. Petri & Felicis eiusdem vrbis, permultos hac ratione fuisse sanatos, eisque hoc potionis genus se propinasse testatur. Humanis enim remedijs deficientibus ad diuina confugit. Nec verò obscurum id fuit, sed tota vrbe vulgatum. Quin Baccalaureus ipse Santius Cantabranensis, pastor ecclesiæ S. Stephani, eodem beneficio se vsum esse confirmat. Nam contagione & acerrima tertiana vehemen-



συνεχῶς καταρρεῖν εἰς τὰ σκέλη καὶ ἄρθρα, δύο ἔτη δεινῶς νοσήσας, τὸν αὐτὸν μακάριον πατέρα ἱκέτευσε, καὶ τοῦ τῆς κακοπαθείας τελείου κουφισμοῦ ἐπέτυχεν.

Ἱερεύς τις, σεμνὸς ἀνὴρ, ἐκ τῆς τοῦ ἁγίου Αυγουστίνου τάξεως, καὶ τοῦ μοναστηρίου τοῦ ἐν Βούργῃ, τῇ ιβʹ τοῦ Νοεμβρίου, ἔτει ͵αφʹϛθʹ, ἐν τῇ τῆς Βούργης διοικήσει, ἤκουσεν ὁμολογήσεως τῆς θυγατρὸς τοῦ Ιωάννου Γωμησίου κωμήτου, παιδίσκης ἐτῶν εἰκοσιδύο, πυρεττούσης καὶ λοιματτούσης. παραινέσαντος δὲ αὐτοῦ τῷ μακαρίῳ Ιγνατίῳ σὺν εὐσεβείᾳ, ὡς ἠδύνατο, μεγίστῃ ἑαυτὴν συστῆσαι, καὶ μίαν εἰκόνα αὐτοῦ εἰς τὸν κόλπον παραδοῦντος, ἐξαίφνης πᾶς λοιμὸς καὶ πυρετὸς ἠφανίσθη.

Πάμπολλοι πολῖται τῆς Βούργης τῇ αὐτῇ νόσῳ καταληφθέντες, πιόντες ὕδωρ, ᾧ ὀστάριον τοῦ μακαρίου πατρὸς ἐνεβάφθη, καὶ ἱκετεύσαντες τῆς πρόσθεν ὑγιείας ἐπέτυχον. προσέτι ὁ αὐτὸς Φράγκισκος Ορτίζιος, πάροχος τῆς ἐκκλησίας τῶν ἁγίων Πέτρου καὶ Φήλικος τῆς αὐτῆς πόλεως, πλείστους τοῦτον τὸν τρόπον θεραπευθῆναι, καὶ ἑαυτὸν αὐτοῖς ταύτην τὴν πόσιν προπιεῖν ἐμαρτύρησε. τῶν γὰρ ἀνθρωπίνων φαρμάκων ἀπολειπόντων πρὸς τὰ τοῦ θεοῦ διέφυγε. καὶ τοῦτο οὐκ ἀσαφῶς εἶχεν, ἀλλ' ἐν πάσῃ τῇ πόλει τεθρύλληται. ἔτι δὲ αὐτὸς Βακκαλάυρεος Σάντιος Καντζαβραναῖος, πάροχος τῆς ἐκκλησίας τοῦ ἁγίου Στεφάνου, τοῦ αὐτοῦ εὐεργετήματος αὐτὸν μεταχεῖν διεβεβαιώσατο. λοιμῷ γὰρ καὶ πυ-

menter afflictus eam aquam hausit, Ignatiumque precatus melius habuit.

Eandem bibit & Abel à Turre, ecclesiæ S. Stephani eiusdem vrbis parochus, sibi propinatam à matre, cùm eadem esset peste correptus, statimque epoto poculo liberatus est.

Madriti P. Michael Garses, religiosus Societatis IESV professus, ex oculo dextero laborabat, acutissimoque pungebatur dolore, copioso acrique humore eum obruente. Nec incisione venæ, nec vllis remedijs leuabatur: quinimò quò plura adhibebantur, eò magis ingrauescere malum absque vlla quietis intermissione, videbatur. Tandem V. Id. Sept. anno CIↃ. IↃ. XCVI. cùm in summo cruciatu dolorum eius oculi fuisset à prima luce in vesperam, P. Bartholomeus Perez misericordia motus, tradidit ei Ignatij nomen ipsius auctoris manu conscriptum, & ad oculum iussit adiungi. Sperabat enim lenitum iri dolorem, vt exploratum iam erat in multis, qui ad eius opem confugerant. P. igitur Garses humi genua posuit, preces concepit, oculum nomine contigit tum cùm acerbissimus vrgeret dolor, & eo ipso puncto temporis restituta sanitate lætatus est. Subitum discessit, soporatus noctem suauiter duxit, è lecto postridie mane surrexit, templum



ρετῷ τεταρταίῳ δεινῶς ἐχόμενος τὸ αὐτὸ ὕδωρ ἔπιε, καὶ τοῦ Ἰγνατίου δεηθεὶς ἀνέλαβε.

Ταυτὸ ἔπιε καὶ ὁ Ἄβελ ἀπὸ τοῦ πύργου, τῆς τοῦ ἁγίου Στεφάνου ἐκκλησίας ἐν τῇ αὐτῇ πόλει πάροχος, ὃ ἡ μήτηρ αὐτοῦ αὐτῷ λοιμώττοντι προὔπιε, καὶ ἐκπιὼν τὸ ποτήριον, εὐθέως ἐσώθη.

Ἐν Ματρίτῳ ὁ πατὴρ Μιχαὴλ Γάρσης, τῆς τοῦ Ἰησοῦ ἑταιρείας ἐπαγγελτής, τῷ δεξιῷ ὀφθαλμῷ ἐκακοπάθει, δεινοτάταις ὀδύναις ἐχόμενος, εὐπόρου καὶ πικροῦ κατάρροου αὐτὸν καταβαρύνοντος. οὐδὲ τῇ φλεβοτομίᾳ, οὐδ᾽ ἄλλοις φαρμάκοις κουφίζετο· μενοῦν γε, ὅσῳ μείζων ἡ ἴασις ἐγίνετο, τοσούτῳ μᾶλλον τὸ νόσημα ἀδιαλείπτως αὐξάνεσθαι ἐδόκει, τελευταῖον τῇ θ′, τοῦ Σεπτεμβρίου, ἔτει αφ′ϟϛ′, τοῦ ὀφθαλμοῦ αὐτοῦ ἀπὸ βαθέος ὄρθρου ἕως τῆς ἑσπέρας πάνυ σφόδρα διαλγήσαντος, ὁ πατὴρ Βαρθολομαῖος Περέσιος ἐλεήσας, παρέδωκεν αὐτῷ τὸ χειρόγραφον τοῦ Ἰγνατίου, καὶ τῷ ὀφθαλμῷ ἐπιθεῖναι ἐκέλευσεν. ἤλπισε γὰρ τὸ ἄλγημα κουφισθήσεσθαι, καθὼς πολλοὶ πρὸς τὴν αὐτοῦ βοήθειαν καταφυγόντες τούτου πεῖραν ἔλαβον. ὁ οὖν πατὴρ Γάρσης γονυπετήσας καὶ εὐχὰς ποιησάμενος, τῆς ὀδύνης εἰς ἄκρον ἐληλυθυίας, τῷ χειρογράφῳ ἥψατο τοῦ ὀφθαλμοῦ, καὶ ἐν ἀκαρεῖ τούτῳ ἰαθεὶς ἦσαι, εἰς κοίτην ἀπῆλθε, τῆς νυκτὸς τοῦ ὕπνου ἡδέως ἔτυχε, τῇ ὑστεραίᾳ

πρωῒ

templum adijt, ſacras confeſſiones audiuit. Omnes denique è Collegio ſanum oculum vidimus, quem ſuperiori die planè cruentum videramus.

Gandiæ Franciſca Vignola ætatis annum agens decimum tertium, vnius penè anni ſpatio grauiter ex altera tibia laborarat, nec incedere niſi claudicando poterat, idque admodum ægrè, præſertim frigidiori cælo, quod valde aduerſum & infeſtum erat. Kal. autem Ian. quo die gratiſſima circunciſionis Domini memoria ab eccleſia celebratur, anno CIↃ.IↃ.C. templum quamuis difficulter ad audiendum ſacrum cum adijſſet, indeque domum redijſſet vi doloris vehementer afflicta; Hortante matre ſalutem ſuam B. commendauit Ignatio, eiuſque nacta chirographum, tibiæ coniunxit, ſanata eſt; ambulauit, ac ſi nullum vnquam perpeſſa fuiſſet incommodum. Eius pater arte medendi eruditus, omneſque domeſtici factum in miraculorum loco numerauerunt. Poſtridie eius diei mater & filia ad ſacram Societatis ædem Deo, Beatoque Ignatio gratias acturæ conuenerunt, cereumque oſcillum tholis eius ſuſpenderunt.

Nec huic diſſimile contigit eodem loco, menſe Octobri, anno CIↃ.IC.C. Ioſephæ Borgiæ Gaſparis Ferreiræ coniugi.

Cùm



πρωῒ ἀναστὰς, καὶ εἰς τὸν ναὸν βαδίσας τῶν ὁμολογούντων ἤκουσε. τέλος δὲ πάντες οἱ ἐν συλλόγῳ, τὸν ὀφθαλμὸν ὑγιῆ ἐβλέψαμεν, ὃν τῇ προτεραίᾳ πάντως ἔναιμον ἑωράκαμεν.

Ἐν Γανδίᾳ Φραγκίσκη Βιγνώλη τριῶν καὶ δέκα ἐτῶν οὖσα, σχεδὸν ἔτει ὅλῳ δεινῶς θάτερον σκέλος ἤλγησε, καὶ, εἰ μὴ πάνυ σφόδρα χωλεύουσα, βαδίσαι οὐκ ἠδυνήθη, ἄλλως τε ψύχους γινομένου, ᾧ τινι μάλιστα ἐκακοπάθει. ἐν ταῖς δὲ Καλάνδαις τοῦ Ιανουαρίου, ὅτε ἡ χαριεστάτη μνήμη τῆς τοῦ κυρίου περιτομῆς ὑπὸ τῆς ἐκκλησίας ἐτελεῖτο, ἔτει ͵αχ', πρὸς τὸν ναὸν, τοῦ τῆς λειτουργίας ἀκοῦσαι, καίπερ χαλεπῶς φοιτήσασα, κἀκεῖθεν σὺν ἀλγηδόνι πολὺ βαρυνθείσῃ ἀναστρέψασα, τῆς μητρὸς παραινούσης τὴν ὑγίειαν αὐτῆς τῷ μακαρίῳ Ιγνατίῳ συνέστησε, καὶ ἐπιτυχοῦσα χειρογράφου αὐτοῦ, ὅ,τι τῇ κνήμῃ προσήγαγεν, ἰάθη, καὶ ὡσπερεὶ μηδέποτε κακοπαθήσασα περιεπάτησε. τοῦτο δὲ ὁ αὐτῆς πατὴρ πρὸς τὰ τῆς ἰατρικῆς ἔμπειρος, καὶ πάντες οἰκιακοὶ ἐν θαύματος μέρει ἠριθμήσαν. τῇ ὑστεραίᾳ ἡ μήτηρ καὶ ἡ θυγάτηρ εἰς τὸ ἱερὸν τῆς ἑταιρίας, τῷ τε θεῷ, καὶ τῷ μακαρίῳ Ιγνατίῳ εὐχαριστῆσαι, παρεγένοντο, ὀστάριον κήρινον ἀνατιθεῖσαι.

Οὐ δ' ἀνομοίως εἶχε τὸ αὐτόθι τῷ Ὀκτωβρίῳ τοῦ ἔτους ͵αχ', τῇ Ιωσήφῃ Βοργίᾳ τοῦ Γάσπαρος Φερρήρου γυναικὶ συνέβη.

M Διὰ τὸ

Cùm enim amplius vnum mensem malè affecto crure loco se mouere non posset, nec vllis medicamentis morbum depellere, Ignatij fidem implorauit ex animo, quintóque Dominicam orationem & Angelicam salutationem in eius honorem recitauit. Id cùm triduo continuasset, in lectulóque iacens ac vim profundens lacrymarum, quòd magnis cruciamentis premeretur, opem B. viri exposceret, repentinus eam somnus oppressit. In ipso autem sopore Pater ei se videndum præbuit, lætoque & hilari vultu dixit, se eius curandi caussa venisse, sacráque manu mali sedem contingere visus, morbum sustulit. Experrecta mulier, sanam se esse mirata est, ac manè templum Societatis petiit, imaginemque ceream obtulit, perpetuum accepti beneficij à B. Patre monumentum.

Sed illud inprimis memorabile, quod accidit eodem loco insequentis anni, mense Nouembri, virgini cuidam piæ, atque à sæculi consuetudine abstractæ, Iosephæ Chastellæ, annos natæ XL. Illa comitiali morbo laborabat, eiusque tanta vis erat, vt à sede rationis præcipitem, ac seipsam dentibus vnguibusque laniantem multi prohibere vix possent. Cùm vero illa grauis agitatio conquiesceret, insoli-





Διὰ τὸ γὰρ σκέλος νοσεῖν, πλέον ἢ ἕνα μῆνα ἐκ τόπου οὐκ ἀπαίρειν, οὐδὲ τὸ πάθος τοῖς φαρμάκοις ἀλέξασθαι δυναμένη, κηρόθι τὴν τοῦ Ἰγνατίου βοήθειαν ᾔτησε, τήν τε εὐχὴν κυριακὴν καὶ τὸν ἀγγελικὸν ἀσπασμὸν πεντάκις εἰς τὴν αὐτοῦ δόξαν ἔλεξεν. τρεῖς ἡμέρας συνεχεῖς τοῦτο ποιήσασα, καὶ ἐπὶ τῆς κλίνης διὰ τὸ τῆς ὀδύνης μέγεθος σφόδρα κλαίουσα, καὶ παρὰ τοῦ μακαρίου ἀνδρὸς ἐπικουρίαν αἰτοῦσα, αἰφνιδίως ὕπνῳ κατελήφθη. αὐτῇ δὲ καθευδούσῃ ὁ πατὴρ ὀφθεὶς, ἱλαρῶς καὶ εὐθύμως εἶπεν· ὅτι τοῦ αὐτὴν ἰάσασθαι ἦλθεν, καὶ τῇ ἱερᾷ χειρὶ τοῦ τῆς νόσου τόπου ἅψασθαι δόξας, αὐτὴν ἀφεῖλεν. ἥτε γυνὴ ἀνεγερθεῖσα ἐπὶ τῷ αὐτὴν ἰαθῆναι ἐθαύμασε, καὶ πρωῒ εἰς τὸν ναὸν τῆς ἑταιρείας ἐλθοῦσα, κηρίνην εἰκόνα εἰς ἀΐδιον μνημόσυνον τῆς παρὰ τοῦ μακαρίου πατρὸς ληφθείσης εὐεργεσίας, προσήνεγκε.

Τοῦτο δὲ πάνυ ἀξιομνημόνευτον, ὅπερ αὐτόθι τῷ μηνὶ Νοεμβρίῳ τοῦ ἑπομένου ἔτους, παρθένῳ τινὶ εὐλαβεῖ, καὶ τῆς κοσμικῆς πολιτείας ἀποκεχωρηκυίᾳ, ὀνόματι Ἰωσήφῃ Χαστέλλῃ, ἐτῶν τεσσαράκοντα οὔσῃ, συμβέβηκεν. αὐτὴ ἐπιληψίᾳ οὕτω δεινῶς ἐνόσει, ὥστε παραφρονοῦσαν καὶ ἑαυτὴν ὀδοῦσι καὶ ὄνυξι σπαράττουσαν πολλοὶ μόλις κωλῦσαι ἠδύναντο. ταύτης δὲ βαρείας κινήσεως ἀναπαυσαμένης,

tus dolor hærebat in corde, corpus erat adeo contritum & debile, vt ne insequenti quidem die mouere sese aut aliquod opus suscipere posset. Sed cùm audiuisset quanta beneficia per id tempus, varijs in locis, in homines Deus per B. Patrem collocasset, ea nocte, qua vsitatum malum recurrit, solitoque vehementius, vt nonnihil redijt ad sese, fiduciæ plena supplex inuocauit Ignatium, quinquiesque orationem Dominicam & Angelicam salutationem percurrit: & euestigiò incolumem se deprehendit, dolore cordis & alijs cruciamentis solutam & liberam, quæ ceteroquin æquè ac aliàs ab illa sensuum alienatione remanserant. Quies grata successit, & tranquillam noctem (quod antea nunquam) in somno traduxit. Vt porrò diluxit, surrexitque è lectulo, soror & fratris vxor eam domi oberrantem præter solitũ cum viderent, magnam in admirationem adductæ sunt. At illa, desinite, inquit, mirari, sed gratias Deo mecum persoluite, qui per B. Ignatium integras mihi vires, nullo mali vestigio remanente, restituit. Octauo tamen vel decimo pòst die crudelis adeo vis colici doloris eandem subitò corripuit, vt pęnè vitam extorserit: sed qua iam imbuta erat in Patrem pietate, illius protinus implorato auxilio, eadem qua prius





ἀήθης μὲν ἀλγηδὼν τῇ καρδίᾳ ἐνέμεινε, τὸ δὲ σῶμα οὕτω συντετριμμένον καὶ ἀσθενὲς ἦν, ὥστε τῇ ὑστεραίᾳ οὐχ ἑαυτὴν κινῆσαι, οὐδέ τι ἐπιχειρῆσαι δυνηθῆναι. ἀκούσασα δὲ, ὡς πολλὰ κατ' ἐκεῖνον τὸν χρόνον πολλαχοῦ τοὺς ἀνθρώπους ὁ θεὸς διὰ τοῦ μακαρίου πατρὸς εὐεργέτηκεν. αὐτονυχὶ, ὅτε τὸ σύνηθες νόσημα βαρύτερον τοῦ εἰωθότος ἐκείνην κατεῖχεν, ἑαυτήν πως ἀναλαβοῦσα πεποιθότως τὸν Ἰγνάτιον ἱκέτευσε, καὶ πεντάκις τὴν εὐχὴν κυριακὴν σὺν τῷ ἀσπασμῷ ἀγγελικῷ ἔλεξε, καὶ παραχρῆμα ὑγιὴς ὑπάρχουσα, καὶ τῆς καρδιαλγίας καὶ τῶν ἄλλων κοινοπαθειῶν, αἳ τισὶν ἄλλως εἰς πρότερον μετὰ τὴν παραφρόνησιν ἀπελείφθησαν, ἀπαλλαγεῖσα ᾔσθετο. εἶτα ἡδέως ἠρέμησε, καὶ ὅλην τὴν νύκτα (ὅπερ οὐδέποτε πρόσθεν συνέβη) ὕπνωσε. πρωΐας δὲ γινομένης, ἐκ τῆς κλίνης ἀνέστη. καὶ ἡ ἀδελφὴ σὺν τῇ εἰνάτερι, αὐτὴν παρὰ τὸ εἰωθὸς ἐν τῷ οἴκῳ περιερχομένην βλέπουσαι, ὡς μάλιστα ἐθαύμασαν· καὶ αὐτὴ, λήγετε θαυμάζουσαι, φησὶν, ἀλλὰ μετὰ μου τῷ θεῷ εὐχαριστεῖτε, ὃς διὰ τοῦ μακαρίου Ἰγνατίου τὴν πρόσθεν ὑγείαν μοι, μηδενὸς τῆς νόσου ἴχνους καταλειφθέντος, ἀπέδωκεν. οὐ μὴν ἀλλὰ τῇ ὀγδόῃ ἢ δεκάτῃ ἡμέρᾳ οὕτω δεινῶς ἐξαίφνης ἐκαλικεύσατο, ὥστε σχεδὸν τοῦ βίου ἀποστερηθῆναι. προσκειμένη δὲ τῇ εὐσεβείᾳ τῇ πρὸς τὸν Ἰγνάτιον παραυτίκα τὴν αὐτοῦ βοήθειαν ἐπεκάλεσε, καὶ τῇ αὐτῇ ῥαστώνῃ ὡς πρότερον.

facilitate dolor aufugit. Et illa quidem ad ſacram Societatis ædem duplicis beneficij teſtes, binas cereas imagines deportauit, quicunque vero hæc cognouerunt, diuinam bonitatem atque potentiam magnificè prædicauere.

His adiungamus & illud, quod Deus eodem in loco prid. Id. Decemb. anno ſuperiore ſæculari perfecit. Puella ſeptennis biduum febri agitata neque ſoporem ceperat, neque guttam aquæ libauerat, præfocante guttur angina, adeo vt deſperata iam vita parentes ſepulturam filiæ magis quàm medicinam cogitarent. Cum puellæ amita B. Ignatij imaginem conſpicata, (quam pater eius, vtpote faber, ad ſe delatam habebat domi, ligno includendæ gratia) accepit, atque in ſpem non dubiam erecta ad puellæ caput admouit, opem eius Sancti ſuppliciter obteſtari iuſſit, ac nouendiales vouere ſupplicationes, ſi morbo releuaretur. Paret illa, & ſeruata quartam horæ partem imagine, matrem vocat, B. Ignatij meritis incolumem ſe renunciat, cibum poſtulat. Comedit igitur, bibit, & ea nocte vti viuens valenſque dormiuit, poſtridie vero prima luce, ipſa & amita pariter ad collegium Societatis gratulatum iuerunt, votiuas nouendij ſupplicationes inchoarunt, imaginem ceream ſuſpenderunt.





τὸ ἄλγημα διῶσε. καὶ ἡ μὲν πρὸς τὸ ἱερὸν τῆς ἑταιρείας μάρτυρας διπλοῦ εὐεργετήματος, δύο δήπου κηρίνας εἰκόνας προσήνεγκεν· ὅσοι δὲ ταῦτα ἔγνωσαν, τὴν τοῦ θεοῦ χρηστότητα καὶ δύναμιν μεγαλοπρεπῶς ἐνεκωμίασαν. Τούτοις κἀκεῖνο προσθῶμεν, ὅ, τι αὐτόθι τῇ ιβ΄. τοῦ Δεκεμβρίου, τῷ ἔτει προεληλυθότι αἰωνίῳ ὁ θεὸς διειργάσατο. κόρη ἑπταέτης, δυοῖν ἡμέραιν πυρέξασα, διὰ τὸ αὐτὴν συναγχικὴν εἶναι, οὔτε ὕπνου ἔτυχεν, οὔτε ῥανίδος τοῦ ὕδατος ἐγεύσατο, ὡς τοὺς γονεῖς τοῦ ζῆν ἀπελπίσαντας περὶ τοῦ τάφου τῆς θυγατρὸς μᾶλλον, ἢ περὶ τῆς θεραπείας ἐνθυμεῖσθαι. ἡ δὲ τῆς κόρης πατραδέλφη τὴν τοῦ μακαρίου πατρὸς εἰκόνα ἑωρακυῖα (ἣν ὁ αὐτῆς πατὴρ τέκτων ὤν, ἑαυτῷ προσκομισθεῖσαν οἴκοθι εἶχε, τοῦ εἰς ξύλον ἐγκλεισθῆναι) αὐτὴν ἔλαβε, καὶ ἐλπίδι ἀναμφισβητήτῳ ὑπαχθεῖσα, τῇ τῆς κόρης κεφαλῇ ἐπέθηκε, καὶ προσέταξεν ἱκετικῶς τὴν τοῦ ἁγίου βοήθειαν ἐπικαλέσαι, καὶ δεήσεις ἐννέα ἡμερῶν εὔξασθαι, εἰ ἐκ τῆς νόσου ἀναλήψεται. ἡ δὲ ἐπειθάρχει· καὶ τὴν εἰκόνα τέταρτον μέρος τῆς ὥρας τηρήσασα, τὴν μητέρα ἐκάλει, ταῖς τοῦ μακαρίου Ἰγνατίου ἀξίαις ἰαθῆναι εἰσήγγελε, βρῶσιν αἰτοῦσα. ἔφαγεν οὖν, ἔπιε καὶ ἐκείνῃ νυκτὶ ὥσπερεὶ ζῶσα καὶ ὑγιαίνουσα ἐκάθευσε. τῇ δὲ ὑστεραίᾳ ἕωθεν, αὕτη καὶ πατραδέλφη ἅμα εἰς τὸν τῆς ἑταιρείας σύλλογον ἦξαν χαίρουσαι, καὶ εὐκταίας δεήσεις τῶν ἐννέα ἡμερῶν ἀρξάμεναι, κηρίνην εἰκόνα ἀνέθεντο.

Nunc continente relictâ ad Baleares insulas cursum dirigamus, in quarum maiore Deus, anno c I ɔ. I ɔ. XCVII. magna & admirabilia per B. Ignatium patrauit. Ioanna Clara Noguera mulier vidua, virtutis & probitatis exemplar, luminibus amissis, primùm dextero, deinde sinistro, autographo nomine B. Patris imposito, ita videndi sensum recuperauit, vt insequenti die solitos labores exerceret, fixisque & non caligantibus oculis solem adspiceret.

Quid de mulieribus dicam, quæ inter extremas pariendi angustias deprehensæ præsentaneam mortem suam, fœtus vero etiam æternam iam iamque expectantes, tamen vel pia B. Patris Ignatij inuocatione, vel nominis eius imaginisue applicatione feliciter enixæ sunt? Multas sane eiusmodi probatæ fidei historias possem commemorare, sed vt ne in hoc argumento prolixus sim, vel odiosus, vnâ alteráue perstringenda me, lectoremque expediam.

Hieronyma Rebaza in hac eadem insula complures dies intolerabili parturiendi dolore, corporis debilitate, animique defectione de vita periclitata, sumptis varijs frustra medicamentis, cùm prolem in vtero mortuam putaret, quòd nullo motu





Νυνὶ δὲ τὴν ἤπειρον καταλιπόντες, εἰς τὰς Βαλεαρίδας ἀφικώμεθα, ἐν ὧν μείζονι ὁ θεὸς ἔτει ,α φ' ϛ ζ', μεγάλα καὶ θαυμάσια διὰ τοῦ μακαρίου Ἰγνατίου διεπράξατο. Ἰωάννη Κλάρα Νογνήρα, χήρα ἀρετῆς καὶ καλοκαγαθίας ὑπόδειγμα, πρῶτον μὲν τὸν δεξιὸν, εἶτα δὲ τὸν ἀριστερὸν ὀφθαλμὸν πεπηρωμένη, ἐν τῷ αὐτοῖς τὸ τοῦ μακαρίου πατρὸς αὐτόγραφον ἐπιθεῖναι, οὕτω τῆς ὄψεως ἔτυχεν, ὥστε τῇ ὑστεραίᾳ κατὰ τὸ ἔθος πονῆσαι, καὶ τὸν ἥλιον ἀκινήτοις τε καὶ μηδαμῶς ἀμβλυώττουσιν ὀφθαλμοῖς ἐπιβλέψαι.

Τί λέξω περὶ τῶν γυναικῶν, αἵτινες ἐν τῷ τικτεῖν στενοχωρούσαι, τὸν μὲν αὐτῶν ἐνεστῶτα θάνατον, τὴν δὲ τοῦ κυήματος αἰώνιον ἀπώλειαν ὅσον παραυτίκα προσεδόκησαν, ἀλλ' ὅμως τῇ εὐσεβεῖ ἐπικλήσει τοῦ μακαρίου πατρὸς Ἰγνατίου, ἢ τῇ τοῦ ὀνόματος, ἢ τῆς εἰκόνος αὐτοῦ προσαγωγῇ εὐτόκησαν; πολλὰς μὲν ἂν ἀξιοπίστους ἱστορίας διηγεῖσθαι ἠδυνάμην, ἵνα δὲ μὴ ἐν ταύτῃ τῇ ὑποθέσει μακρολέγων ἐνοχλήσω, μίαν ἢ δύο ἐπὶ κεφαλαίῳ εἰπὼν, ἐμὲ καὶ τὸν ἀναγνώστην ἀπολύσω.

Ἱερωνύμη Ῥεβάζη ἐν αὐτῇ ταύτῃ νήσῳ πλείους ἡμέρας διὰ τὰς ἀφορήτους ὠδῖνας, τήν τε τοῦ σώματος ἀσθένειαν καὶ λειποψυχίαν περὶ τοῦ βίου κινδυνεύσασα, πολλοῖς φαρμάκοις μάτην ἐχρήσατο. νομιζούσῃ δὲ αὐτῇ τὸ κύημα ἐν τῇ κοιλίᾳ ἀποθανεῖν, διότι ἀκίνητον

cieretur, potentissima ei medicina ad eam expellendam, non sine proposito vitæ discrimine parabatur. Sed ea repudiata, quia nimis erat anceps & dubia, cælestem vt securiorem antetulit, afferri sibi rogauit scriptum illud nomen Ignatij, quo tanta miracula in ea ipsa insula Deus ediderat. Allatum est XIII. Kal. Nouemb. anno CIↃ. IↃ. XCIIX. & quarta pòst horæ parte filium viuum sanumque peperit. Sed illud multò maiorem admirationem mouit omnibus, quòd os infantis pueri medicinis redundaret, quas mater superiori triduo sumpserat. Obstetrix eas exemit, & ex oculis eiulantis continuo fluxere lacrymæ, quæ cunctis gaudio risum fecerunt. Huic miraculo præsens affuit Hieronyma Pi, quæ Raphaelis Pi matrimonium tenebat. Illa decimum sextum iam annum continua cruciamenta glandium in faucibus enatarum patiebatur, quibus nullum remedium inuenerat. Eodem accedebat & illud: dens in ore vacillabat, quo magnis inter edendum afficiebatur molestijs. Ergo cùm vidisset Hieronymam Rebazam tam admirabiliter per schedulam B. Patris nomine inscriptam periculo, in quo versabatur, ereptam, idem & ipsa nomen poposcit, quod osculata religioséque venerata, momento temporis euanescente glandium dolo-



ἰῶ, ἐνεργέστατον αὐτῇ φάρμακον, τοῦ αὐτὸ ἐκβαλεῖν οὐκ ἄνευ κινδύνου τοῦ ζῆν, παρεσκευάζετο. ἀλλὰ μὴν τούτου παραιτησαμένη, ὡς ἄγαν ἀμφίβολον καὶ ἐπισφαλὲς γινόμενον, τὸ οὐράνιον ὡς ἀσφαλέστερον προὔκρινε, καὶ ἐδεήθη αὐτῇ προσκομισθῆναι τοὔνομα γεγραμμένον τοῦ Ἰγνατίου, ᾧ τινι ὁ θεὸς ἐν ἐκείνῃ τῇ νήσῳ τοιαῦτα θαύματα ἐποίησε. προσηνέχθη τῇ κ΄, τοῦ Ὀκτωβρίου, ἔτει α φ΄ ς η΄ καὶ τετάρτῳ μέρει τῆς ὥρας ὕστερον υἱὸν ζῶον καὶ ὑγιῆ ἔτεκε. τοῦτο δὲ πᾶσι θαυμασιώτερον γέγονεν, ὅτι τὸ στόμα τοῦ βρέφους ἐπληρώθη τῶν φαρμάκων ὑπὸ τῆς μητρὸς τρισὶν ἡμέραις παρεληλυθυίαις ληφθέντων, ἅ τινα ἡ μαῖα ἀφεῖλε, καὶ ἐκ τῶν ὀφθαλμῶν τοῦ κλαυθμυριζομένου παραχρῆμα τὰ δάκρυα ἐξέρρευσεν, αἷς πάντες ὑπὸ χαρᾶς εἰς γέλωτα ἤχθησαν. τούτῳ θαύματι παρῆν ἡ Ἱερωνύμη Πία, ἡ τῷ Ῥαφαὴλ Πίῳ γαμηθεῖσα. αὕτη ἑκκαιδεκάτῳ ἔτει ὑπ' οἰδημάτων τινῶν ὡς βαλάνων τῷ λάρυγγι ἐγγινομένων, συνεχῶς ἐκακοπάθει, καθ' οὗ μηδὲν φάρμακον ἐξεῦρε. πρὸς τούτοις ὀδοὺς ἐν τῷ στόματι κινούμενος αὐτὴν μεταξὺ τρώγουσαν σφόδρα ἠνώχλει. ἰδοῦσα οὖν τὴν Ἱερωνύμην Ῥεβάζην διὰ χεδαρίου, ᾧ τοὔνομα τοῦ μακαρίου πατρὸς ἐνεγράφθη, οὕτω θαυμαστῶς ἐκ τοῦ ἐφεστηκότος κινδύνου σωθεῖσαν, ταὐτὸ ὄνομα κἀκείνη ᾔτησεν, ὃ, τε καταφιλήσασα καὶ εὐλαβῶς σεβασαμένη ἐν ἀκαρεῖ χρόνου ἰάθη, ἀφανισθείσης τῆς τῶν οἰδημάτων ἀλγη-

dolore, denteque priorem firmitatem obtinente, conualuit. Hinc ea mulier eiusque vir tanta pietate fuerunt erga P. Ignatium, vt ad conferenda per ipsum maiora in eos beneficia, Deus commoueri videretur. Nam postridie illius diei, qui dies fuit duodecimus Kal. Nouemb. Ioannes Piorum filius duplice tertiana conflictatus est adeo vehemente & periculosâ, vt quarto die cùm peccata in aure sacerdotis exonerasset, sacrisque epulis animum refecisset, de sede mentis deturbaretur. Erat ei lingua tumida, oculi depressi atque turbati, ceteraque mortem præcurrentia signa comitabantur: quarto Kal. Nouemb. hæc quam diximus scheda ægro admota, proque eius salute cum lachrymis est à parentibus supplicatum. Et ecce subitò febris remittere, æger ad mentem redire, vocem & oculorum claritatem recipere. Et cum hæc fierent hora fere noctis octaua, postridie prima luce sanus & incolumis è lecto surgere. Ad eum interim venit medicus, quemque vel mortuum, vel animam certe agere putabat, in pedibus consistentem & carentem febri, valentemque deprehendit.

Equus, quo quidam Bartholomæus Constantius chirurgus vehebatur, fortuito lapsu sessoré ita humi afflixerat, vt capitis conge-



ἀλγηδόνος, καὶ τοῦ ὀδόντος, ὡς πρότερον εἶχεν, στερεωθέντος. διὰ ταῦτα ἐκείνη ἡ γυνὴ καὶ ὁ αὐτῆς ἀνὴρ οὕτως εὐσεβῶς πρὸς τὸν μακάριον Ἰγνάτιον διέκειντο, ὥστε ὁ θεὸς εἰς τὸ αὐτοὺς διὰ τοῦ μακαρίου Ἰγνατίου μείζονα εὐεργετήσειν ἐπάγεσθαι ἐδόκει. τῇ γὰρ ὑστεραίᾳ τῇ κά δήπου τοῦ Ὀκτωβρίου, Ἰωάννης Πῖος ὁ αὐτῶν υἱὸς διπλῷ τριταίῳ πυρετῷ οὕτω σφόδρα καὶ ἐπικινδύνως ἐνόσησεν, ὥστε τῇ τετάρτῃ ἡμέρᾳ τὰ ἁμαρτήματα τῷ ἱερεῖ ἐξομολογήσας, καὶ τῆς εὐχαριστίας μεταλαβὼν τῇ διανοίᾳ παρέκοψεν. ἡ αὐτοῦ γλῶττα ᾤδησεν, οἱ ὀφθαλμοὶ κατεπεπιεσμένοι καὶ τεταραγμένοι ἦσαν, καὶ τὰ σημεῖα τὰ τοῦ θανάτου προδραμεῖν εἰωθότα παρεγένετο· τῇ τοίνυν κθ' τοῦ Ὀκτωβρίου τὸ προειρημένον σχεδάριον τῷ νοσοῦντι προσηνέχθη, τῶν γονέων ὑπὲρ τῆς σωτηρίας αὐτοῦ τὸν θεὸν σὺν δάκρυσιν ἱκετευσάντων. καὶ ἰδοὺ, ὁ πυρετὸς εὐθέως ἀπέλιπεν, ὁ νοσῶν ἀνεφρόνησε, τὴν φωνὴν καὶ τὴν ἐνάργειαν τῶν ὀφθαλμῶν ἀνέλαβε, καὶ τούτων γινομένων περὶ τὴν τῆς νυκτὸς ὥραν ὀγδόην, τῇ ὑστεραίᾳ ἐν ὄρθρῳ ὑγιὴς καὶ εὐσθενὴς ἐκ τῆς κοίτης ἀνέστη. ἐν τῷ δὲ μεταξὺ ἦλθεν ἰατρός, καὶ ὃν ἀποθανεῖν ἢ ἐσχάτως ἔχειν ἡγεῖτο, ἱστάμενον, ἀπύρετον ὄντα, καὶ ὑγιαίνοντα εὗρεν.

Ἵππος, ἐφ' ᾧ Βαρθολομαῖος Κωνστάντιος χειρουργὸς ὠχεῖτο, τυχὸν ὀλισθήσας τὸν ἐπιβάτην οὕτως εἰς γῆν κατέβαλεν, ὥστε ἐκ τοῦ τὴν κεφα-

λὴν

congelatio acerbam ei insuper ophthalmiam gigneret, quæ nullam homini quietem somnumque indulgeret, iamque alterius oculorum sensum perdiderat: alter ita erat imbecillis, vt lumen solis sustinere non posset. Adeóque morbi, quem insanabilem medici iudicabant, curationem abiecerant, cum ipse feria quarta sanctæ hebdomadæ, scriptum flagitauit adferri sibi nomen Ignatij. Res mira, eo qui deportabat introeunte cubiculum, antequam propius ad eum accederet, repente immodicum capitis frigus abscessit, & oculorum dolore mitigato, inusitatam cepit animi voluptatem. Vt vero tam admirabilem sanationem ab ea scriptura manasse perspexit, pannos quibus caput eius fouendi gratia inuoluebatur, abiecit; exclamauitque: Valeo, valeo: capitis, atque oculorum dolore sum liber. Eodem die ianuas fenestrásque cubiculi aperiendas curauit, quas ad arcendum lumen oculo molestum occluserat. Postridie sanus & alacer ad collegium Societatis contendit, ad gratias Deo agendas, à quo propter Ignatij merita ijs incommodis esset ereptus, omnemque rei gestæ seriem liberis suis narrauit.

Colonia Vicha, quę Ludouico Vicho nupserat, tribus mensibus non ferendam capitis



λὴν συμπαγῆναι, δεινὴ ὀφθαλμία αὐτῷ ἐγένετο, δι' ἣν οὔτε τῆς ἡσυχίας, οὔτε τοῦ ὕπνου ἔτυχε, καὶ ἤδη τοῦ ἑτέρου ὀφθαλμοῦ αἰσθήσεως ὄψεως ἀπολολυίας, ἕτερος οὕτως ἠσθένησεν, ὥστε τῷ τοῦ ἡλίου φωτὶ ἀτενίσαι οὐκ ἠδύνατο. ἀπελπισάντων δὲ τῶν ἰατρῶν τὴν θεραπείαν, διότι τὸ νόσημα ἀνιάτως ἔχειν ἐνόμισαν, αὐτὸς τῇ τετάρτῃ ἡμέρᾳ τῆς ἁγίας ἑβδομάδος, τὸ αὐτόγραφον τοῦ Ἰγνατίου ὄνομα αὐτῷ προσκομισθῆναι ἐδεήθη. καὶ ἰδοὺ θαῦμα· τούτου γὰρ, ὃς τὴν χάρτην ἐφόρει, εἰς τὸν κοιτῶνα εἰσερχομένου, οὔπω δ' αὐτῷ πλησιάζοντος, τοῦ τῆς κεφαλῆς ψύχους ἀμέτρου αἰφνιδίως ἀπηλλάγη, καὶ τῆς ὀφθαλμίας ἀναπαυσαμένης, ἀήθως τὴν ψυχὴν ἥσθη. γνωρίσας δὲ ὅτι ἴασις οὕτω θαυμαστὴ ἐκ ταύτης τῆς γραφῆς ἐγένετο, τὰ ῥάκη, οἷς ἡ κεφαλὴ αὐτοῦ, θάλψεως χάριν, ἐνειλεῖτο, ἀπέβαλε, καὶ ἀνεβόησεν· ὑγιαίνω, ὑγιαίνω, τῆς κεφαλαλγίας καὶ ὀφθαλμίας ἀπηλλάγην. αὐθήμερον τὴν θύραν καὶ τὰς θυρίδας τοῦ κοιτῶνος ἀνοιγῆναι ἐκέλευσεν, ἃς, τοῦ τὸ φῶς τῇ ὄψει ἐνοχλοῦν ἀπείργειν, κατέκλεισε. τῇ ὑστεραίᾳ ὑγιὴς καὶ εὔθυμος ὢν εἰς τὸν τῆς ἑταιρίας σύλλογον ἦλθε, τοῦ τῷ θεῷ εὐχαριστῆσαι, ὑφ' οὗ διὰ τὰς τοῦ Ἰγνατίου ἀξίας ἐξ ἐκείνων κακῶν ἐσώθη, καὶ πᾶσαν τὴν ἱστορίαν ἐφεξῆς τοῖς υἱοῖς αὐτοῦ ἐξηγήσατο.

Κολωνία Βίχα τοῦ Λουδοβίκου Βίχου γυνὴ, τρεῖς μῆνας ἀφορήτως κεφαλαλγήσασα, ἅμα

καὶ τὴν

pitis acerbitatem perpeſſa, ſimul vnius oculi lumen amiſerat, quippe cuius reflexæ palpebræ ſic aciem obduxerant, vt ad eas reducendas medici chirurgique nullas ex omni arte medendi rationes inuenirent, eoque rem deſperatam abijcerent. Tertio Non. Mai. ſcriptum B. Patris nomen accepit, oculum affectum contigit, Ignatiũ inuocauit, vltro ſe palpebræ erexere, videndi ſenſum recepit, domum Societatis ſe contulit.

Sed ne prætermittamus Germaniam. Ebeſperga locus eſt non procul à Monachio, quæ Ducum Bauariæ ſedes eſt: ibi mulier parturiens extremos biduum labores perpeſſa eniti non potuit, atque ita demum elanguit, vt exhalatura potius animam, quàm fœtum paritura videretur. Vir incredibiliter mœrens Patrem Societatis adiuit, qui ibi tunc erat, conſilium opemque in rebus aduerſis petiturus. Pater memor miraculorum, quæ Deus variis in locis per B. Ignatium effeciſſet, & quidem in fœminis tali in re ac tempore conſtitutis, eius opem pro muliere genibus nixus ardenter implorat. Quia porro nullas tum alias eius reliquias habebat, quas ad eam mitteret, Regulas Societatis ab eo olim conſcriptas charta inuoluit, viroque tradidit, vt ijs tanquam re ſacra con-

iugem



καὶ τὴν ὄψιν ἑνὸς ὀφθαλμοῦ ἀπώλεσε. τὰ γὰρ αὐτοῦ βλέφαρα ἀνακάμψαντα οὕτω τὴν κόρην ἐκάλυψεν, ὥστε τοὺς ἰατροὺς ἢ χειρουργοὺς μηδένα τρόπον τοῦ ἐπιχειρεῖν ἐν πάσῃ ἰατρικῇ αὐτῶν εὑρόντας τὴν θεραπείαν ἀνελπίστως ἀποβαλεῖν. τῇ δὲ ε΄ τοῦ Μαΐου τὸ αὐτόγραφον ὄνομα τοῦ μακαρίου πατρὸς λαβοῦσα, τοῦ ὀφθαλμοῦ κακοπαθοῦντος ἥψατο, καὶ ἐν τῷ τὸν Ἰγνάτιον ἐπικαλεῖν, αὐτομάτως τὰ βλέφαρα ἐπήρθη, καὶ αὐτὴ πάλιν τῆς ὄψεως ἐπιτυχοῦσα εἰς τὸν σύλλογον τῆς ἑταιρείας ἦλθεν.

Καίτοι μὴ τὴν Γερμανίαν παραλείπωμεν. Ἐβερσπέργη χῶρός ἐστιν οὐ πόρρω ἀπέχων τοῦ Μοναχίου μητροπόλεως τῶν ἀρχόντων τῆς Βοΐας. ἐκεῖ γυνή τις δυεῖν ἡμέραιν ἐσχάτως ὠδίνουσα ἀποτεκεῖν οὐκ ἠδυνήθη, τελευταῖον δὲ οὕτως ἠσθένησεν, ὥστε μᾶλλον ἐκπνεῖν ἢ ἐκτεκεῖν ἐδόκει. ὁ ἀνὴρ ὡς μάλιστα λυπηθεὶς πατρὶ τῆς ἑταιρείας τῷ κατὰ τὸν αὐτὸν χρόνον ἐκεῖ διάγοντι προσῆλθε, τοῦ συμβουλίου καὶ ἐπικουρίαν ἐν τῷ ἀτυχήματι αἰτήσων. ὁ πατὴρ τῶν θαυμάτων, ὧν ὁ θεὸς τὰ μάλιστα ἐν γυναιξὶ ταῖς τοιούτῳ χρόνῳ εἰς τοιαύτας συμφορὰς καθεστηκυίαις διὰ τοῦ μακαρίου Ἰγνατίου πολλαχοῦ διειργάσατο, ἀναμνησθεὶς, τὴν αὐτοῦ βοήθειαν ὑπὲρ τῆς γυναικὸς ἐπὶ τὰ γόνατα ζεστῶς ἠξίωσε. μηδὲν δὲ ἐκ τῶν λειψάνων αὐτοῦ τότε ἔχων, ὅ, τι ἂν πρὸς αὐτὴν πέμπῃ, τοὺς τῆς ἑταιρείας κανόνας, οὓς πάλαι συνέγραψε, χάρτῃ ἐνειλιχθέντας τῷ ἀνδρὶ ἀπέδωκεν, ὅπως αὐ-

ταῖς

iugem religiosè contingeret, Deum auxilio futurum, fiduciam modò tam præclaro opere dignam conciperet. Re perfecta, quas longa conflictatio vires ademerat, mulier reuocauit, filium inde peperit velut in figuram pullascentis oui contractum, vehementer obstetrice mirante, ceterisque fœminis eius artis nequaquam ignaris. Ceterum & mater, & filius, vitam incolumitatemque tenuerunt.

Nec prætereunda sunt illa, quæ alio sub sole apud Indos euenere. Anno CIↃ. IↃ. XCIX. mense Septemb. nauicula S. Mariæ Regalis nomine, Cartagenam soluit è portu S S. Trinitatis insulæ Cubæ. Ea vehebatur Bartholomæus Loboguerrero, Archiepiscopus Regni nouæ Granatæ, cumque eius rogatu Alfonsus Median, & Franciscus Figueroa Patres Societatis, alijque complures ordinis ecclesiastici & ciuilis. Iis longa spatia præteruectis, & in conspectu Iamaicæ constitutis, decimo Kal. Ian. concitata est adeo sæua tempestas, vt omnes ob oculos certissimam sibi mortem proponerent. Iam enim confractus erat maior malus, aliusque carchesij, & antennarum lacerata vela, tanta violentia ventorum, vt noua reponi nullo modo paterentur. Tumentes fluctus tanto impetu ruebant in nauim, vt sub vndis potius



τοῖς, ὡς χρήματί τινι ἁγίῳ, τῆς γυναικὸς εὐλαβῶς ἅψηται, ἐλπίσων τὸν θεὸν βοηθήσειν, εἰ μόνον ἀξίως τοῦ περιφανοῦς ἔργου αὐτῷ πιστεύσει. τούτου γινομένου, ἡ γυνὴ ἐν τῷ πολὺν χρόνον κακοπαθεῖν ἐκπεπονημένη τὴν ἰσχὺν ἀναλαβοῦσα υἱὸν ὡς εἰς σχῆμα ὠοῦ νεοσσευομένου συσταλθέντα ἔτεκε, τῆς μαίας καὶ ἄλλων γυναικῶν πρὸς τὰ τοιαῦτα μηδαμῶς ἀπείρων σφόδρα θαυμαζουσῶν. ἡ δὲ μήτηρ καὶ τὸ παιδίον περιεσώθησαν.

Ἀλλ' οὐ σιωπητέον τὰ παρὰ τοῖς ἀνθηλίοις Ἰνδοῖς συμβεβηκότα. ἔτει ᾳ φ' ϛ ή. τῷ μηνὶ τοῦ Σεπτεμβρίου, ἐπὶ πλοιαρίου ἀπὸ τῆς ἁγίας Μαρίας Ρηγαλίας ὀνομασθέντος, εἰς τὴν Καρταγένην ἐκ τοῦ τῆς ἁγιωτάτης Τριάδος λιμένος τοῦ ἐν τῇ νήσῳ Κούβῃ, ἐξέπλευσεν ὁ Βαρθολομαῖος Λοβογουέρρηρος ἀρχιεπίσκοπος βασιλείας τῆς νέας Γρανάτης, καὶ σὺν αὐτῷ, τῇ αὐτοῦ δεήσει, Ἀλφονσος Μεδιάνης καὶ Φράγκισκος Φιγουερώας πατέρες τῆς ἑταιρίας, καὶ πολλοὶ ἄλλοι τῆς ἐκκλησιαστικῆς καὶ πολιτικῆς τάξεως. τούτων δὲ πολὺν πλοῦν πεπλευκότων, καὶ ἤδη τῇ Ιαμαϊκῇ πλησιασάντων, τῇ κγ', τοῦ Δεκεμβρίου οὕτω δεινὸς χειμὼν ἐγένετο, ὥστε πάντας τὸν θάνατον πρὸ ὀφθαλμῶν δήλως ἔχειν. νυνὶ γὰρ ὁ μείζων ἱστὸς διερράγη, καὶ ἄλλος καρχησίου, καὶ αἱ τῶν ἐπικρίων ὀθόναι ἐσπαράχθησαν, τοσαύτῃ βίᾳ τῶν ἀνέμων, ὥστε νέα ἀποκατασταθῆναι μηδαμῶς ἠδύνατο. τὰ κύματα οἰδαίνοντα οὕτως εἰς τὴν ναῦν ἐπεβάλλετο, ὥστε μᾶλλον

tius quàm in summis aquis fluctuare videretur. Nauarchus Dominicus Rodrigues nomine, iam clauum destituerat secum reputans, nihil opis superesse in rebus humanis, nisi Deus è cælo mitteret. Cùm rabies illa tempestatis vnum diem tenuisset, & in horas inualesceret, vectores omnes diuinum numen placandum esse censuerunt. Hîc Patres Societatis memoria repetentes ea miracula, quæ Deus ederet eo tempore, rogatu B. P. Ignatij, eius auxilium ex intimo animi sensu flagitarunt, & quantum potuerunt voce contenderunt, vt Archiepiscopus idem ceterique præstarent. Quod cum impense ab omnibus esset factum, violentissimus repente ventus defecit, obstupefactis omnibus, & incredibili voluptate perfusis, qui cùm se iam inter mortuos reputarent, vitam sibi modò restitutam videbant. Archiepiscopus Loboguerrero vouit anniuersariam eius diei festi celebritatem, sacrificiumque pontificali ritu, si quando Romanus Pontifex Ignatium in numerum Sanctorum adscriberet. Item & ceteri qui cum eo nauigarunt, sua quisque vota concepere, vt ex ijs quæstionibus liquet, quæ de hoc miraculo primum Santesæ ciuitate noui Regni, Archiepiscopo Domino Bartholomęo præsente, sunt habitæ, deinde Cartagenæ auctori-



ὑπὸ τοῖς ὕδασιν, ἢ ἄνω σαλεύεσθαι ἐδόκει. ὁ ναύαρχος ὀνόματι Δομινικὸς Ῥωδρίκιος ἤδη τὸ πηδάλιον κατέλιπε, μηδεμίαν βοήθειαν ἐν τοῖς ἀνθρωπίνοις ὑπολειφθῆναι νομίσας, ἐὰν μὴ ὁ θεὸς οὐρανόθεν ἐξαποστείλῃ. τῆς δὲ τοῦ χειμῶνος δεινότητος μίαν ἡμέραν διαμεινάσης, καὶ καθ' ἑκάστην ὥραν βαρυνομένης, πᾶσιν ἐπιβάταις τὸν θεὸν ἐξιλάσασθαι δέδοκται. τότε οἱ πατέρες τῆς ἑταιρείας ἀναμνησθέντες τὰ θαύματα, ἅτινα ὁ θεὸς ἐν ἐκείνῳ τῷ καιρῷ, τῇ τοῦ μακαρίου πατρὸς Ἰγνατίου δεήσει ἐποίει, τὴν βοήθειαν ἐξ ὅλης τῆς καρδίας αὐτὸν ἐδεήθησαν, καὶ καθ' ὅσον ἠδύναντο, ἀνεφώνησαν, ὅπως ὁ ἀρχιεπίσκοπος καὶ οἱ ἄλλοι ταὐτὸ ποιήσωσι. πάντων δὲ τοῦτο ἐπιμελῶς ποιησάντων, παραυτίκα ὁ πάνυ βίαιος ἄνεμος ἀνεπαύσατο, ἐκπλαγέντων πάντων, καὶ ἀπίστως ἡσθέντων ἐπὶ τῷ ἰδεῖν αὐτοὺς πρὸς τὴν ζωὴν ἤδη ἐπαναχθέντας, οἵτινες σφᾶς αὐτοὺς τοῖς τετελευτηκόσιν ἐναριθμηθῆναι ἡγήσαντο. ὁ ἀρχιεπίσκοπος Λοβογκέρρηρος ἐπεύξατο τὴν ἑορτὴν αὐτοῦ ἐτήσιον, καὶ λειτουργίαν ἱεραρχικῷ ἔθει τελέσειν, εἴ ποτε ὁ Πάπας τὸν Ἰγνάτιον τῷ τῶν ἁγίων καταλόγῳ προσγράψει. ὁμοίως καὶ ἕκαστοι τῶν συμπλεύντων εὐχὰς αὐτῶν ἐποιήσατο, καθὼς δῆλόν ἐστιν ἐκ τῶν ἐξετάσεων τῶν περὶ τούτου θαύματος πρῶτον μὲν ἐν Σαντέσῃ τῇ πόλει τῆς νέας βασιλείας, ἐναντίον τοῦ Ἀρχιεπισκόπου κυρίου Βαρθολομαίου, εἶτα δ' ἐν Καρταγένῃ.

auctoritate Domini fratris Ioannis Ladradæ è Dominicana familia eiusdem ciuitatis Episcopi.

Sed non tum modò Patres Alfonsus Median, & Franciscus Figueroa ceterique eiusdem peregrinationis socij è periculis maris, & euidentissimo naufragio, precibus B. Patris emerserunt: anno siquidem CIↃ. IↃ C. maiori nauigio, cui B. V. de Aranzazu insigne erat, è nouo Regno Granata renauigantes in Hispaniam, cùm Bahama soluissent, acerrimis tempestatibus iactati sunt. Nam procellæ magno impetu puppim feriebant, proram verò aduersi venti, præterea syrtibus periculosissimis cingebantur: hîc rursum P. Francisco Figueroa reliquias B. Patris mari immergente, opemque eius suppliciter exposcente, subitò mare tranquillatum est. Sed vt manifestius adhuc periculum ad Terceras insulas incurrerunt, ita illustrius inibi Patris auxilium fuit. Etenim cum ventus ita sub auroram inualuisset, vt nauigium in aduersam plagam reijceret; nautæ ceterique peregrini mortem cernentes ob oculos, fixis solo genibus palam sua peccata confessi sunt, ac Dei misericordiam implorarunt, cum ecce rupto maiori velo venit omnibus in mentem beneficium illud, quod in sinu Bahamensi per Ignatium

eius



